ΣΙΜΥΛΟΥ ΚΑΙ ΠΟΛΥΣΤΡΑΤΟΥ

{ΣΙΜΥΛΟΣ} *Ἥκεις ποτέ, ὦ Πολύστρατε, καὶ σὺ παρ᾽ ἡμᾶς ἔτη οἶμαι οὐ πολὺ ἀποδέοντα τῶν ἑκατὸν βεβιωκώς;*

Ἔφθασες ἐπὶ τέλους καὶ ἐσὺ κοντά μας, Πολύστρατε, ἔχοντας ζήσει νομίζω ἔτη τὰ ὁποῖα δὲν ὑπολείπονται καὶ πολὺ τῶν ἑκατό;

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Ὀκτὼ ἐπὶ τοῖς ἐνενήκοντα, ὦ Σιμύλε.*

Ἐνενήντα ὀκτώ, Σιμύλε.

{ΣΙΜΥΛΟΣ} *Πῶς δαὶ τὰ μετ᾽ ἐμὲ ταῦτα ἐβίως τριάκοντα; ἐγὼ γὰρ ἀμφὶ τὰ ἑβδομήκοντά σου ὄντος ἀπέθανον.*

Πῶς ἆραγε ἔζησες τὰ τριάντα [ἔτη] μετὰ ἀπὸ ἐμένα; Διότι ἐγώ, γύρω στὰ ἑβδομήντα σου ἀπεβίωσα.

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Ὑπερήδιστα, εἰ καί σοι παράδοξον τοῦτο δόξει.*

Πάρα πολὺ εὐχάριστα, ἂν καὶ τοῦτο θὰ σοῦ φανῇ παράδοξον.

{ΣΙΜΥΛΟΣ} *Παράδοξον, εἰ γέρων τε καὶ ἀσθενὴς ἄτεκνός τε προσέτι ἥδεσθαι τοῖς ἐν τῷ βίῳ ἐδύνασο.*

Παράδοξον [βεβαίως], ἀφοῦ γέρων καὶ ἀσθενὴς καὶ ἄτεκνος ἐπὶ πλέον, μποροῦσες νὰ εὐχαριστηθῇς μὲ [τὰ πράγματα] ἐντὸς τοῦ βίου.

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Τὸ μὲν πρῶτον ἅπαντα ἐδυνάμην· ἔτι καὶ παῖδες ὡραῖοι ἦσαν πολλοὶ καὶ γυναῖκες ἁβρόταται καὶ μῦρα καὶ οἶνος ἀνθοσμίας καὶ τράπεζα ὑπὲρ τὰς ἐν Σικελίᾳ.*

Κατ᾽ ἀρχήν, τὰ πάντα μποροῦσα. Ὑπῆρχαν ἐπίσης καὶ πολλοὶ ὡραῖοι νέοι καὶ γυναῖκες κομψότατες καὶ ἀρώματα καὶ μυρωδάτος οἶνος καὶ τραπέζια ὑπερβαίνοντα αὐτὰ τῆς Σικελίας[138].

{ΣΙΜΥΛΟΣ} *Καινὰ ταῦτα· ἐγὼ γάρ σε πάνυ φειδόμενον ἠπιστάμην.*

Καινούργια τοῦτα. Ἐπειδὴ ἐγὼ σὲ ἤξερα γιὰ πάρα πολὺ φειδωλό.

---

[138] «Σικελικὴ τράπεζα»: Παροιμία γι᾽ αὐτοὺς οἱ ὁποῖοι ἀγαποῦν ὑπερβολικῶς τὴν καλοπέραση. Ἡ σικελικὴ κουζίνα ἦτο περιβόητος γιὰ τὰ εὔγευστα καὶ πλούσια ἐδέσματά της.

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Ἀλλ᾽ ἐπέρρει μοι, ὦ γενναῖε, παρὰ ἄλλων τὰ ἀγαθά· καὶ ἕωθεν μὲν εὐθὺς ἐπὶ θύρας ἐφοίτων μάλα πολλοί, μετὰ δὲ παντοῖά μοι δῶρα προσήγετο ἁπανταχόθεν τῆς γῆς τὰ κάλλιστα.*

Ἀλλὰ συνέρρεον σὲ ἐμένα, γενναῖε, ἀπὸ ἄλλους τὰ ἀγαθά. Καὶ εὐθὺς ἀπὸ τὴν αὐγὴ πάρα πολλοὶ ἐσύχναζον στὴν πόρτα μου, καὶ μὲ τὰ καλλίτερα δῶρα παντὸς εἴδους μοῦ ἔρχονταν ἀπ' ὅλα τὰ μέρη τῆς γῆς.

{ΣΙΜΥΛΟΣ} *Ἐτυράννησας, ὦ Πολύστρατε, μετ᾽ ἐμέ;*

Ἔγινες ἄρχων[139], Πολύστρατε, μετὰ ἀπὸ ἐμένα;

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Οὔκ, ἀλλ᾽ ἐραστὰς εἶχον μυρίους.*

Ὄχι, ἀλλὰ εἶχα ἀμέτρητους ἐραστάς.

{ΣΙΜΥΛΟΣ} *Ἐγέλασα· ἐραστὰς σὺ τηλικοῦτος ὤν, ὀδόντας τέτταρας ἔχων;*

[Μὲ ἔκανες καὶ] ἐγέλασα. Ἐραστάς, ἐσύ, ὄντας τέτοιας ἡλικίας, ἐνῷ ἔχεις τέσσερα δόντια;

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Νὴ Δία, τοὺς ἀρίστους γε τῶν ἐν τῇ πόλει· καὶ γέροντά με καὶ φαλακρόν, ὡς ὁρᾷς, ὄντα καὶ λημῶντα προσέτι καὶ κορυζῶντα ὑπερήδοντο θεραπεύοντες, καὶ μακάριος ἦν αὐτῶν ὅντινα ἂν καὶ μόνον προσέβλεψα.*

Μὰ τὸν Δία, τοὺς ἀρίστους βεβαίως ἐξ αὐτῶν ἐντὸς τῆς πόλεως! Καὶ γέροντα καὶ φαλακρό, ὅπως βλέπεις, ποὺ ἤμουν καὶ τσιμπλιάρη ἀκόμη καὶ μυξιάρη, εὐχαριστοῦντο πάρα πολὺ φροντίζοντάς [με], καὶ ἐξ αὐτῶν ἦτο εὐτυχὴς μόνον ὅποιος τοῦ ἔρριψα τὸ βλέμμα μου.

{ΣΙΜΥΛΟΣ} *Μῶν καὶ σύ τινα ὥσπερ ὁ Φάων τὴν Ἀφροδίτην ἐκ Χίου διεπόρθμευσας, εἶτά σοι εὐξαμένῳ ἔδωκεν νέον εἶναι καὶ καλὸν ἐξ ὑπαρχῆς καὶ ἀξιέραστον;*

Μήπως ἆραγε καὶ ἐσὺ διεπόρθμευσες κάποιον, ὅπως ἀκριβῶς ὁ Φάων[140] τὴν Ἀφροδίτη ἀπὸ τὴν Χίο, ἔπειτα σοῦ εὐχήθηκε νὰ γίνῃς ἐξ ἀρχῆς νέος καὶ ὡραῖος καὶ ἀξιαγάπητος;

[139] Ἡ λέξις «τύραννος» ἀρχικῶς δὲν ἐσήμαινε τὸν δυνάστη, ἀλλὰ τὸν ἄρχοντα ἢ τὸν βασιλέα.

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Οὔκ, ἀλλὰ τοιοῦτος ὢν περιπόθητος ἦν.*

Ὄχι, ἀλλὰ ὄντας τέτοιος, ἤμουν περιπόθητος.

{ΣΙΜΥΛΟΣ} *Αἰνίγματα λέγεις.*

Λὲς [πράγματα] ἀκατανόητα.

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Καὶ μὴν πρόδηλός γε ὁ ἔρως οὑτοσὶ πολὺς ὢν ὁ περὶ τοὺς ἀτέκνους καὶ πλουσίους γέροντας.*

Καὶ ὅμως, ἀφοῦ ὁ ἔρως, ὁ περὶ τοὺς ἀτέκνους καὶ πλουσίους γέροντας, εἶναι βεβαίως τόσος πολὺς καὶ φανερός.

{ΣΙΜΥΛΟΣ} *Νῦν μανθάνω σου τὸ κάλλος, ὦ θαυμάσιε, ὅτι παρὰ τῆς χρυσῆς Ἀφροδίτης ἦν.*

Τώρα καταλαβαίνω ὅτι τὸ κάλλος σου, θαυμάσιε, ἀπὸ τὴν χρυσὴ Ἀφροδίτη ἦτο.

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Ἀτάρ, ὦ Σιμύλε, οὐκ ὀλίγα τῶν ἐραστῶν ἀπολέλαυκα μονονουχὶ προσκυνούμενος ὑπ' αὐτῶν· καὶ ἐθρυπτόμην δὲ πολλάκις καὶ ἀπέκλειον αὐτῶν τινας ἐνίοτε, οἱ δὲ ἡμιλλῶντο καὶ ἀλλήλους ὑπερεβάλλοντο ἐν τῇ περὶ ἐμὲ φιλοτιμίᾳ.*

Ὅμως, Σιμύλε, δὲν ἔχω ἀπολαύσει ὀλίγα ἀπὸ τοὺς ἐραστὰς μόνον μὲ τὸ νὰ τιμῶμαι ἀπὸ αὐτούς. Πολλὲς φορὲς ἐκνευριζόμουν κι ὅλας, ἐνίοτε δὲ ἔκλεινα ἔξω ὁρισμένους ἀπὸ αὐτούς, ἐνῷ αὐτοὶ συνηγωνίζοντο καὶ ξεπερνοῦσαν ὁ ἕνας τὸν ἄλλον ὡς πρὸς τὴν φιλοτιμία γιὰ ἐμένα.

{ΣΙΜΥΛΟΣ} *Τέλος δ' οὖν πῶς ἐβουλεύσω περὶ τῶν κτημάτων;*

Τελικῶς λοιπόν, τί ἀπεφάσισες γιὰ τὴν περιουσία;

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Εἰς τὸ φανερὸν μὲν ἕκαστον αὐτῶν κληρονόμον ἀπολιπεῖν ἔφασκον, ὁ δ' ἐπίστευέν τε ἂν καὶ κολακευτικώτερον παρεσκεύαζεν αὑτόν, ἄλλας δὲ τὰς ἀληθεῖς διαθήκας ἐκείνας ἔχων κατέλιπον οἰμώζειν ἅπασι φράσας.*

Στὰ φανερὰ ἔλεγα ὅτι ἀφήνω κάθε ἕναν ἀπὸ αὐτοὺς κληρονόμο, ἐκεῖνος δὲ ἐπίστευε καὶ κατὰ τρόπον κολακευτικώτερο προετοίμαζε τὸν ἑαυτόν του, ἐνῷ ἐγὼ ἔχω ἀφήσει

[140] Ὁ Φάων, ὄντας γέρος, διεπόρθμευσε τὴν Ἀφροδίτη ἡ ὁποία περιεπλανᾶτο ἀπὸ χώρα σὲ χώρα μὲ τὴν μορφὴ γριᾶς. Καὶ αὐτή, γιὰ νὰ τὸν εὐχαριστήση, ἐπειδὴ ἦτο γέρος, τὸν μετεμόρφωσε σὲ ἀξιαγάπητο νέον.

ἄλλες ἀπὸ ἐκεῖνες, τὶς ἀληθινὲς διαθῆκες, λέγοντας σὲ ὅλους νὰ θρηνοῦν φωνάζοντας.

{ΣΙΜΥΛΟΣ} *Τίνα δὲ αἱ τελευταῖαι τὸν κληρονόμον ἔσχον; ἦ πού τινα τῶν ἀπὸ τοῦ γένους;*

Ποιόν εἶχαν κληρονόμο οἱ τελευταῖες; Ἢ μήπως κάποιον ἀπὸ τοὺς συγγενεῖς;

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Οὐ μὰ Δία, ἀλλὰ νεώνητόν τινα τῶν μειρακίων τῶν ὡραίων Φρύγα.*

Ὄχι μὰ τὸν Δία, ἀλλὰ κάποιον νεοαγορασμένο Φρύγα ἐκ τῶν ὡραίων νεαρῶν.

{ΣΙΜΥΛΟΣ} *Ἀμφὶ πόσα ἔτη, ὦ Πολύστρατε;*

Γύρω στὰ πόσα ἔτη, Πολύστρατε;

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Σχεδὸν ἀμφὶ τὰ εἴκοσι.*

Σχεδὸν γύρω στὰ εἴκοσι.

{ΣΙΜΥΛΟΣ} *Ἤδη μανθάνω ἅτινά σοι ἐκεῖνος ἐχαρίζετο.*

Ἤδη καταλαβαίνω σὲ ποιά ἐκεῖνος σοῦ ἔκανε χάρες.

{ΠΟΛΥΣΤΡΑΤΟΣ} *Πλὴν ἀλλὰ πολὺ ἐκείνων ἀξιώτερος κληρονομεῖν, εἰ καὶ βάρβαρος ἦν καὶ ὄλεθρος, ὃν ἤδη καὶ αὐτῶν οἱ ἄριστοι θεραπεύουσιν. ἐκεῖνος τοίνυν ἐκληρονόμησέ μου καὶ νῦν ἐν τοῖς εὐπατρίδαις ἀριθμεῖται ὑπεξυρημένος μὲν τὸ γένειον καὶ βαρβαρίζων, Κόδρου δὲ εὐγενέστερος καὶ Νιρέως καλλίων καὶ Ὀδυσσέως συνετώτερος λεγόμενος εἶναι.*

Ἀλλὰ ὅμως ἦτο ἀξιώτερος στὸ νὰ κληρονομήσῃ, περισσότερο ἀπὸ ἐκείνους, ἂν καὶ ἦτο βάρβαρος καὶ συμφορά, τὸν ὁποῖον ἤδη καὶ οἱ ἄριστοι ἐξ αὐτῶν ὑπηρετοῦν. Γι' αὐτὸν τὸν λόγο ἐκεῖνος μὲ ἐκληρονόμησε καὶ τώρα συγκαταλέγεται στοὺς ἀριστοκράτες, ἔχοντας μὲν ξυρίσει τὴν γενειάδα[141] καὶ βαρβαρίζοντας [εἰς τὴν γλῶσσαν][142], λέγεται ὅμως ὅτι εἶναι εὐγενέστερος τοῦ Κόδρου[143], ὡραιότερος τοῦ Νιρέως καὶ συνετώτερος τοῦ Ὀδυσσέως.

[141] Γιὰ τοὺς ἀρχαίους Ἕλληνες ἡ γενειάδα ἦτο σημεῖον ἀνδρισμοῦ.

[142] Ὀνοματοποιημένη λέξις ἀπὸ τὸ «βὰρ-βὰρ» τὸ ὁποῖον γιὰ τοὺς ἀρχαίους Ἕλληνες συνιστοῦσε κάθε ἀκατανόητο ἦχο ποὺ ἄκουγαν ἀπὸ τὶς γλῶσσες ἄλλων λαῶν.

{ΣΙΜΥΛΟΣ} *Οὔ μοι μέλει· καὶ στρατηγησάτω τῆς Ἑλλάδος, εἰ δοκεῖ, ἐκεῖνοι δὲ <μὴ> κληρονομείτωσαν μόνον.*

Δὲν μὲ μέλει. Ἂς γίνῃ καὶ στρατηγὸς τῆς Ἑλλάδος, ἐὰν θέλῃ, ἐκεῖνοι μόνον νὰ μὴ κληρονομήσουν.



[143] Θρυλικὸς βασιλεὺς τῶν Ἀθηνῶν, υἱὸς τοῦ Μελάνθου, ὁ ὁποῖος ἐθυσιάσθη ἑκουσίως γιὰ τὴν σωτηρία τῆς πόλεως. Ὁ Κόδρος ἦτο ὁ τελευταῖος βασιλεὺς τῶν Ἀθηνῶν. Κατὰ τὴν διάρκεια τῆς βασιλείας του, οἱ Δωριεῖς διῆγον ἐποχὴ ξηρασίας καὶ στὴν προσπάθειά τους νὰ βροῦν διέξοδο ἀπεφάσισαν νὰ καταλάβουν τὴν εὐημεροῦσα Ἀττική. Μία ἰσχυρὴ δωρικὴ δύναμις ὑπὸ τὴν ἀρχηγία τοῦ Ἀλήτου ἀπὸ τὴν Κόρινθο καὶ τοῦ Ἀλθαιμένους ἀπὸ τὸ Ἄργος, εἰσέβαλε στὴν Ἀττική. Πρὶν ἐκστρατεύσουν ἐζήτησαν χρησμὸ ἀπὸ τὸ μαντεῖο τῶν Δελφῶν τὸ ὁποῖον τοὺς ἐχρησμοδότησε ὅτι θὰ κατελάμβανον τὴν Ἀθῆνα ἐφ' ὅσον δὲν ἐφόνευαν τὸν βασιλέα της. Κάποιος Κλεόμαντις ἀπὸ τοὺς Δελφοὺς ἀνέφερε τὰ σχετικὰ εἰς τοὺς Ἀθηναίους. Ὁ Κόδρος ἀπεφάσισε νὰ θυσιάσῃ τὸν ἑαυτόν του. Μετημφιέσθη σὲ χωρικὸ καὶ κάνοντας πὼς μαζεύει ξύλα ἐπλησίασε εἰς τὸ στρατόπεδο τῶν Δωριέων. Ἐκεῖ προξένησε ἐπεισόδιο μὲ δύο στρατιῶτας, κατάφερε καὶ ἐφόνευσε τὸν ἕναν μὲ τὸ δρεπάνι ποὺ κρατοῦσε, ἀλλὰ ὁ ἄλλος τὸν ἐφόνευσε. Οἱ Ἀθηναῖοι ἔστειλαν κήρυκα εἰς τὸ στρατόπεδο τῶν Δωριέων ζητώντας τὸν νεκρὸ βασιλέα γιὰ νὰ τὸν θάψουν. Ὅταν οἱ Δωριεῖς ἀντελήφθησαν τί εἶχε συμβεῖ, ἔφυγαν ἀπὸ τὴν Ἀθήνα καὶ ἀπεσύρθησαν εἰς τὰ Μέγαρα. Ὁ τόπος ὅπου ἐφονεύθη ὁ Κόδρος ἐθεωρεῖτο ὅτι εὑρίσκεται στὴν δεξιὰ ὄχθη τοῦ Ἰλισοῦ, κοντὰ σὲ μία ἀπὸ τὶς πύλες τῶν ἀρχαίων Ἀθηνῶν (Παυσανίας, Ἑλλάδος περιήγησις, βιβλίον 1ον 19,5,10). Ἐκεῖ εὑρίσκετο καὶ τὸ ἱερὸ τοῦ ἡρωικοῦ βασιλέως, τὸ ὁποῖον μᾶς εἶναι γνωστὸ ἀπὸ ἐπιγραφὴ τοῦ 418π.Χ. Ὁ τάφος ὅμως τοῦ Κόδρου εὑρίσκετο κάτω ἀπὸ τὴν Ἀκρόπολιν, ὅπως μαρτυρεῖ ἐπιτύμβια ἐπιγραφὴ τοῦ 2ου αἰῶνος μ.Χ. ἡ ὁποία ἀνεκαλύφθη στοὺς ἀνατολικοὺς πρόποδες τοῦ ἱεροῦ βράχου. Ἡ παράδοσις γιὰ τὸν βασιλέα Κόδρο ἦτο πολὺ σημαντικὴ γιὰ τοὺς Ἀθηναίους. Μετὰ τὴν νίκην εἰς τὸν Μαραθῶνα, ἀνάμεσα σὲ ἄλλα ἀφιερώματα τὰ ὁποῖα ἔστειλαν εἰς τοὺς Δελφούς, ἦτο καὶ ἄγαλμα τοῦ Κόδρου, ἔργον τοῦ Φειδίου.

ΧΑΡΩΝΟΣ ΚΑΙ ΕΡΜΟΥ

{ΧΑΡΩΝ} *Ἀκούσατε ὡς ἔχει ὑμῖν τὰ πράγματα. μικρὸν μὲν ὑμῖν, ὡς ὁρᾶτε, τὸ σκαφίδιον καὶ ὑπόσαθρόν ἐστιν καὶ διαρρεῖ τὰ πολλά, καὶ ἢν τραπῇ ἐπὶ θάτερα, οἰχήσεται περιτραπέν, ὑμεῖς δὲ τοσοῦτοι ἅμα ἥκετε πολλὰ ἐπιφερόμενοι ἕκαστος. ἢν οὖν μετὰ τούτων ἐμβῆτε, δέδια μὴ ὕστερον μετανοήσητε, καὶ μάλιστα ὁπόσοι νεῖν οὐκ ἐπίστασθε.*

Ἀκοῦστε πῶς ἔχουν σὲ ἐμᾶς τὰ πράγματα. Μικρὸ σᾶς εἶναι, ὅπως βλέπετε, τὸ σκάφος καὶ σάπιο καὶ μπάζει νερὰ ἀπὸ παντοῦ καὶ ἐὰν γύρῃ ἀπὸ τὴν μία μεριὰ θὰ ἀναποδογυρίσῃ καὶ θὰ χαθῇ. Τόσοι πολλοὶ ἐσεῖς φθάνετε συγχρόνως, φέροντας ἕκαστος πολλά. Ἐὰν λοιπὸν μπεῖτε μαζὶ μὲ αὐτά, φοβοῦμαι μὴ καὶ μετανοήσετε ὕστερα, καὶ μάλιστα ὅσοι δὲν ξέρετε νὰ κολυμπᾶτε.

{ΕΡΜΗΣ} *Πῶς οὖν ποιήσαντες εὐπλοήσομεν;*

Κάνοντας τί λοιπὸν θὰ ἔχουμε καλὸν πλοῦν;

{ΧΑΡΩΝ} *Ἐγὼ ὑμῖν φράσω· γυμνοὺς ἐπιβαίνειν χρὴ τὰ περιττὰ ταῦτα πάντα ἐπὶ τῆς ἠϊόνος καταλιπόντας· μόλις γὰρ ἂν καὶ οὕτως δέξαιτο ὑμᾶς τὸ πορθμεῖον. σοὶ δέ, ὦ Ἑρμῆ, μελήσει τὸ ἀπὸ τούτου μηδένα παραδέχεσθαι αὐτῶν, ὃς ἂν μὴ ψιλὸς ᾖ καὶ τὰ ἔπιπλα, ὥσπερ ἔφην, ἀποβαλών. παρὰ δὲ τὴν ἀποβάθραν ἑστὼς διαγίνωσκε αὐτοὺς καὶ ἀναλάμβανε γυμνοὺς ἐπιβαίνειν ἀναγκάζων.*

Ἐγὼ θὰ σᾶς πῶ. Πρέπει νὰ ἐπιβιβασθῆτε γυμνοὶ ἀφήνοντας ὅλα αὐτὰ τὰ περιττὰ στὴν ὄχθη. Μετὰ βίας καὶ ἔτσι θὰ μποροῦσε νὰ σᾶς δεχθῇ ἡ βάρκα. Ἐσύ, Ἑρμῆ, θὰ φροντίσῃς ἀπὸ ἐδῶ καὶ πέρα νὰ μὴ δέχεσαι κανέναν ἀπὸ αὐτούς, ὁ ὁποῖος δὲν εἶναι ἀπογυμνωμένος καὶ δὲν ἔχει ῥίψει ἀπὸ ἐπάνω του τὴν κινητὴ περιουσία, ὅπως ἀκριβῶς εἶπα. Ὄντας δίπλα στὴν ἀποβάθρα ξεχώριζέ τους καὶ ἀναλάμβανε νὰ τοὺς ἀναγκάζῃς νὰ ἐπιβιβάζωνται γυμνοί.

{ΕΡΜΗΣ} *Εὖ λέγεις, καὶ οὕτω ποιήσωμεν. Οὑτοσὶ τίς ὁ πρῶτός ἐστιν;*

Καλὰ λὲς καὶ ἔτσι ἂς κάνουμε. Ἀπὸ αὐτοὺς ποιός εἶναι ὁ πρῶτος;

{ΜΕΝΙΠΠΟΣ} *Μένιππος ἔγωγε. ἀλλ᾽ ἰδοὺ ἡ πήρα μοι, ὦ Ἑρμῆ, καὶ τὸ βάκτρον εἰς τὴν λίμνην ἀπερρίφθων, τὸν τρίβωνα δὲ οὐδὲ ἐκόμισα εὖ ποιῶν.*

Ἐγὼ φυσικά, ὁ Μένιππος. Ἀλλὰ ἰδού, Ἑρμῆ, τὸ σακούλι μου καὶ τὸ μπαστούνι εἰς τὴν λίμνην ἔχουν ῥιφθῆ, ἐνῷ δὲν τὸ ἔφερα τὸ ἐπανωφόρι καὶ καλὰ ἔκανα.

{ΕΡΜΗΣ} *Ἔμβαινε, ὦ Μένιππε ἀνδρῶν ἄριστε, καὶ τὴν προεδρίαν ἔχε παρὰ τὸν κυβερνήτην ἐφ᾽ ὑψηλοῦ, ὡς ἐπισκοπῇς ἅπαντας. ὁ καλὸς δ᾽ οὗτος τίς ἐστιν;*

Μπὲς, Μένιππε ἄριστε ἐκ τῶν ἀνδρῶν, καὶ ἔχε τὴν πρώτη θέσιν δίπλα στὸν κυβερνήτη σὲ ὑψηλὸ [σημεῖον], ὥστε νὰ τοὺς ἐπιβλέπῃς ὅλους. Αὐτὸς ὁ ὡραῖος ποιός εἶναι;

{ΧΑΡΜΟΛΕΩΣ} *Χαρμόλεως ὁ Μεγαρικὸς ἐπέραστος, οὗ τὸ φίλημα διτάλαντον ἦν.*

Ὁ Χαρμόλεως ἀπὸ τὰ Μέγαρα ὁ ἀξιαγάπητος, τοῦ ὁποίου τὸ φίλημα ἦτο γιὰ δύο τάλαντα.

{ΕΡΜΗΣ} *Ἀπόδυθι τοιγαροῦν τὸ κάλλος καὶ τὰ χείλη αὐτοῖς φιλήμασι καὶ τὴν κόμην τὴν βαθεῖαν καὶ τὸ ἐπὶ τῶν παρειῶν ἐρύθημα καὶ τὸ δέρμα ὅλον. ἔχει καλῶς, εὔζωνος εἶ, ἐπίβαινε ἤδη. ὁ δὲ τὴν πορφυρίδα ούτοσὶ καὶ τὸ διάδημα ὁ βλοσυρὸς τίς ὢν τυγχάνεις;*

Γι᾽ αὐτὸν τὸν λόγο λοιπὸν γδύσου ἀπὸ τὸ κάλλος καὶ τὰ χείλη μὲ τὰ φιλήματά τους καὶ τὴν πυκνὴ κόμη καὶ τὸ κοκκινάδι ἐπάνω στὰ μάγουλα καὶ ὅλο τὸ δέρμα. Ἔχει καλῶς, εἶσαι ἐλαφρὰ ντυμένος, ἐπίβαινε τώρα. Αὐτὸς ἐδῶ μὲ τὴν πορφύρα καὶ τὴν ταινία στὰ μαλλιά, ὁ βλοσυρός, ποιός τυγχάνει νὰ εἶσαι;

{ΛΑΜΠΙΧΟΣ} *Λάμπιχος Γελῴων τύραννος.*

Ὁ Λάμπιχος, βασιλεὺς τῶν Γελῴων[144].

{ΕΡΜΗΣ} *Τί οὖν, ὦ Λάμπιχε, τοσαῦτα ἔχων πάρει;*

Γιατί λοιπόν, Λάμπιχε, παρευρίσκεσαι ἔχοντας τόσα;

{ΛΑΜΠΙΧΟΣ} *Τί οὖν; ἐχρῆν, ὦ Ἑρμῆ, γυμνὸν ἥκειν τύραννον ἄνδρα;*

---

[144] Οἱ κάτοικοι τῆς Γέλας Σικελίας. Ἡ Γέλα (σημερινὴ Gela) ἦτο ἀρχαία ἑλληνικὴ ἀποικία, κτισμένη στὰ νότια τῆς Σικελίας. Ἡ πόλις ἱδρύθη γύρω στὰ 688π.Χ., ἀπὸ ἀποίκους ἀπὸ τὴν Ῥόδο καὶ τὴν Κρήτη. Τὸ ὄνομά της τὸ ἔλαβε ἀπὸ τὸν ὁμώνυμο ποταμό, στὶς ὄχθες τοῦ ὁποίου ἐκτίσθη. Ἡ πόλις ἀνεπτύχθη γρήγορα καὶ μετὰ ἀπὸ ἕναν αἰῶνα ἵδρυσε τὴν ἀποικία τοῦ Ἀκράγαντος (σημερινὸ Agrigento).

Καὶ λοιπὸν; Ἔπρεπε, Ἑρμῆ, ἄνδρας βασιλεὺς νὰ φθάσῃ γυμνός;

{ΕΡΜΗΣ} *Τύραννον μὲν οὐδαμῶς, νεκρὸν δὲ μάλα· ὥστε ἀπόθου ταῦτα.*
Βασιλεὺς μὲ κανένα τρόπο. Νεκρὸς ὅμως, πολύ. Ὥστε ἄφησε αὐτὰ κάτω.

{ΛΑΜΠΙΧΟΣ} *Ἰδού σοι ὁ πλοῦτος ἀπέρριπται.*
Ἰδοὺ ὁ πλοῦτος γιὰ χάριν σου ἔχει ἀπορριφθῆ.

{ΕΡΜΗΣ} *Καὶ τὸν τῦφον ἀπόρριψον, ὦ Λάμπιχε, καὶ τὴν ὑπεροψίαν· βαρήσει γὰρ τὸ πορθμεῖον συνεμπεσόντα.*
Καὶ τὴν ἀλαζονεία πέταξε, Λάμπιχε, καὶ τὴν ὑπεροψία, διότι θὰ βαρύνῃ τὸ σκάφος καθὼς θὰ πέφτῃς μέσα μαζὶ [μὲ αὐτές].

{ΛΑΜΠΙΧΟΣ} *Οὐκοῦν ἀλλὰ τὸ διάδημα ἔασόν με ἔχειν καὶ τὴν ἐφεστρίδα.*
Τουλάχιστον ἄφησέ με νὰ ἔχω τὴν ταινία στὰ μαλλιὰ καὶ τὸ ἐπανωφόρι.

{ΕΡΜΗΣ} *Οὐδαμῶς, ἀλλὰ καὶ ταῦτα ἄφες.*
Μὲ κανένα τρόπο, ἀλλὰ ἄφησε καὶ αὐτά.

{ΛΑΜΠΙΧΟΣ} *Εἶεν. τί ἔτι; πᾶν γὰρ ἀφῆκα, ὡς ὁρᾷς.*
Ἂς εἶναι. Τί ἀκόμα; Διότι ὅλα τὰ ἄφησα, καθὼς βλέπεις.

{ΕΡΜΗΣ} *Καὶ τὴν ὠμότητα καὶ τὴν ἄνοιαν καὶ τὴν ὕβριν καὶ τὴν ὀργήν, καὶ ταῦτα ἄφες.*
Καὶ τὴν ὠμότητα καὶ τὴν ἀνοησία καὶ τὴν ὕβριν καὶ τὴν ὀργὴν, καὶ αὐτὰ ἄφησέ τα.

{ΛΑΜΠΙΧΟΣ} *Ἰδού σοι ψιλός εἰμι.*
Ἰδού, εἶμαι γιὰ χάριν σου ἀπογυμνωμένος.

{ΕΡΜΗΣ} *Ἔμβαινε ἤδη. σὺ δὲ ὁ παχύς, ὁ πολύσαρκος τίς ὢν τυγχάνεις;*
Μπὲς λοιπόν. Ἐσὺ ὁ καλοθρεμμένος, ὁ παχύσαρκος, ποιός τυγχάνει νὰ εἶσαι;

{ΔΑΜΑΣΙΑΣ} *Δαμασίας ὁ ἀθλητής.*
Ὁ Δαμασίας[145] ὁ ἀθλητής.

---

[145] Ὀλυμπιονίκης κατὰ τὴν 115η Ὀλυμπιάδα, ἀπὸ τὴν Ἀμφίπολιν.

{ΕΡΜΗΣ} *Ναί, ἔοικας· οἶδα γάρ σε πολλάκις ἐν ταῖς παλαίστραις ἰδών.*

Ναί, ὁμοιάζεις. Σὲ γνωρίζω επειδὴ σὲ ἔχω δεῖ πολλὲς φορὲς στὶς παλαῖστρες[146].

{ΔΑΜΑΣΙΑΣ} *Ναί, ὦ Ἑρμῆ· ἀλλὰ παράδεξαί με γυμνὸν ὄντα.*

Ναί, Ἑρμῆ. Ἀλλὰ δέξου με, ὄντα γυμνόν.

{ΕΡΜΗΣ} *Οὐ γυμνόν, ὦ βέλτιστε, τοσαύτας σάρκας περιβεβλημένον· ὥστε ἀπόδυθι αὐτάς, ἐπεὶ καταδύσεις τὸ σκάφος τὸν ἕτερον πόδα ὑπερθεὶς μόνον· ἀλλὰ καὶ τοὺς στεφάνους τούτους ἀπόρριψον καὶ τὰ κηρύγματα.*

Ὄχι γυμνόν, ῥὲ φίλε, μὲ τόσες σάρκες περιβεβλημένο. Ὥστε γδύσου ἀπὸ αὐτές, διότι μόνον τὸ ἄλλο πόδι ἐὰν βάλῃς θὰ καταβυθίσῃς τὸ σκάφος. Πέταξε ὅμως καὶ αὐτὰ τὰ στεφάνια καὶ τὶς ἀναγγελίες τῶν νικῶν σου.

{ΔΑΜΑΣΙΑΣ} *Ἰδού σοι γυμνός, ὡς ὁρᾷς, ἀληθῶς εἰμι καὶ ἰσοστάσιος τοῖς ἄλλοις νεκροῖς.*

Ἰδού, πράγματι εἶμαι γυμνὸς γιὰ χάριν σου, ὅπως βλέπεις, καὶ ἰσοβαρὴς μὲ τοὺς ἄλλους νεκρούς.

{ΕΡΜΗΣ} *Οὕτως ἄμεινον ἀβαρῆ εἶναι· ὥστε ἔμβαινε. καὶ σὺ τὸν πλοῦτον ἀποθέμενος, ὦ Κράτων, καὶ τὴν μαλακίαν δὲ προσέτι καὶ τὴν τρυφὴν μηδὲ τὰ ἐντάφια κόμιζε μηδὲ τὰ τῶν προγόνων ἀξιώματα, κατάλιπε δὲ καὶ γένος καὶ δόξαν καὶ εἴ ποτέ σε ἡ πόλις ἀνεκήρυξεν καὶ τὰς τῶν ἀνδριάντων ἐπιγραφάς, μηδὲ ὅτι μέγαν τάφον ἐπί σοι ἔχωσαν λέγε· βαρύνει γὰρ καὶ ταῦτα μνημονευόμενα.*

Ἔτσι καλλίτερα, νὰ εἶσαι ἐλαφρύς. Ὥστε μπές. Καὶ ἐσύ, Κράτων, ἀφοῦ θέσῃς κατὰ μέρος τὸν πλοῦτο καὶ τὴν μαλθακότητα ἐπίσης καὶ τὴν τρυφή, οὔτε τὰ σάβανα νὰ φέρῃς οὔτε τὰ ἀξιώματα τῶν προγόνων, ἐγκατάλειψε δὲ καὶ τὴν γενεὰ καὶ τὴν δόξα καὶ ἂν κάποτε σὲ ἐτίμησε ἡ πόλις, καὶ τὶς ἐπιγραφὲς τῶν ἀνδριάντων, οὔτε νὰ λὲς ὅτι σὲ ἔθαψαν σὲ σπουδαῖο τάφο. Διότι βαρύνουν καὶ αὐτὰ ὅταν μνημονεύονται.

{ΚΡΑΤΩΝ} *Οὐχ ἑκὼν μέν, ἀπορρίψω δέ· τί γὰρ ἂν καὶ πάθοιμι;*

Θὰ τὰ πετάξω, ὄχι ὅμως μὲ τὴν θέλησίν μου. Διότι τί θὰ μποροῦσα νὰ πάθω;

[146] Ὡς ἰδεώδης δρομεὺς ὁ Ἑρμῆς ἐθεωρεῖτο προστάτης τοῦ ἀθλητισμοῦ.

{ΕΡΜΗΣ} *βαβαί. σὺ δὲ ὁ ἔνοπλος τί βούλει; ἢ τί τὸ τρόπαιον τοῦτο φέρεις;*
Ἀλλοίμονον! Ἐσὺ ὁ ἔνοπλος, τί θέλεις; Ἢ γιατί κουβαλᾷς αὐτὸ τὸ τρόπαιον[147];

{ΣΤΡΑΤΗΓΟΣ} *Ὅτι ἐνίκησα, ὦ Ἑρμῆ, καὶ ἠρίστευσα καὶ ἡ πόλις ἐτίμησέν με.*
Διότι ἐνίκησα, Ἑρμῆ, καὶ ἀρίστευσα καὶ ἡ πόλις μὲ ἐτίμησε.

{ΕΡΜΗΣ} *Ἄφες ὑπὲρ γῆς τὸ τρόπαιον· ἐν ᾄδου γὰρ εἰρήνη καὶ οὐδὲν ὅπλων δεήσει. ὁ σεμνὸς δὲ οὗτος ἀπό γε τοῦ σχήματος καὶ βρενθυόμενος, ὁ τὰς ὀφρῦς ἐπηρκώς, ὁ ἐπὶ τῶν φροντίδων τίς ἐστιν, ὁ τὸν βαθὺν πώγωνα καθειμένος;*
Ἄσε τὸ τρόπαιον ἐπάνω στὴν γῆ. Στὸν Ἅδη [ἐπικρατεῖ] εἰρήνη καὶ δὲν θὰ χρειασθῇ κανένα ἀπὸ τὰ ὅπλα. Ὁ σεβάσμιος αὐτὸς καὶ σοβαρός, ὅπως βεβαίως δείχνει ἡ περιβολή, αὐτὸς ποὺ ἀνασηκώνει τὰ φρύδια, αὐτὸς ποὺ ἔχει ἔννοιες, ποιός εἶναι, αὐτὸς ποὺ ἔχει κρεμάσει πυκνὴ γενειάδα;

{ΜΕΝΙΠΠΟΣ} *Φιλόσοφός τις, ὦ Ἑρμῆ, μᾶλλον δὲ γόης καὶ τερατείας μεστός· ὥστε ἀπόδυσον καὶ τοῦτον· ὄψει γὰρ πολλὰ καὶ γελοῖα ὑπὸ τῷ ἱματίῳ σκεπόμενα.*
Κάποιος φιλόσοφος[148], Ἑρμῆ, πλάνος μᾶλλον καὶ γεμᾶτος τερατολογίες. Ὥστε γδύσε καὶ αὐτόν. Θὰ δῇς πολλὰ καὶ γελοῖα νὰ σκεπάζωνται ἀπὸ τὸ ἱμάτιον.

{ΕΡΜΗΣ} *Κατάθου σὺ τὸ σχῆμα πρῶτον, εἶτα καὶ ταυτὶ πάντα. ὦ Ζεῦ, ὅσην μὲν τὴν ἀλαζονείαν κομίζει, ὅσην δὲ ἀμαθίαν καὶ ἔριν καὶ κενοδοξίαν καὶ ἐρωτήσεις ἀπόρους καὶ λόγους ἀκανθώδεις καὶ ἐννοίας πολυπλόκους, ἀλλὰ καὶ ματαιοπονίαν μάλα πολλὴν καὶ λῆρον οὐκ ὀλίγον καὶ ὕθλους καὶ μικρολογίαν, νὴ Δία καὶ χρυσίον γε τουτὶ καὶ ἡδυπάθειαν δὲ καὶ*

---

[147] Τρόπαιον= Τὸ ἐπὶ τῇ τροπῇ τῶν πολεμίων ἀνεγειρόμενον μνημεῖον, τὸ ὁποῖον ἀπετελεῖτο ἀπὸ ἀσπίδες καὶ ὅπλα τῶν ἐχθρῶν, ἀναρτώμενα ἀρχικῶς σὲ δένδρα ἢ πασσάλους. Μέσῳ τῆς λατινικῆς γλώσσης ἐπέρασε σὲ ὅλες τὶς δυτικὲς γλῶσσες ὡς «βραβεῖον».

[148] Τὸ χαρακτηριστικὸ γνώρισμα τῶν φιλοσόφων ἦτο ἡ μακρὰ κόμη καὶ ἡ μακρὰ γενειάδα. Πολὺ συνηθισμένα ὅμως ἦσαν καὶ τὰ ἀστεῖα τῶν ἀρχαίων πρὸς ὅσους διατηροῦσαν γενειάδα γιὰ νὰ δείχνουν ὅτι φιλοσοφοῦν. Παροιμιώδεις εἶναι οἱ φράσεις «ἐκ πώγωνος σοφισταί», «ἀπὸ πώγωνος φιλόσοφοι» καὶ τὸ ἐπίγραμμα τοῦ Λουκιανοῦ «εἰ τὸ τρέφειν πώγωνα δοκεῖ σοφίαν περιποιεῖν, καὶ τράγος εὐπώγων εὔστολός ἐστι Πλάτων» (ἐὰν μὲ τὸ νὰ διατηρῇς γενειάδα σοῦ φαίνεται ὅτι ἐπιτυγχάνεις τὴν σοφία, τότε ὁ περιποιημένος καὶ μὲ ὡραία γενειάδα τράγος εἶναι Πλάτων). Χαρακτηριστικὴ καὶ ἡ μεταγενεστέρα παροιμία: «Δὲν κρέμεται ἡ γνῶσις ἀπὸ τὰ γένια».

ἀναισχυντίαν καὶ ὀργὴν καὶ τρυφὴν καὶ μαλακίαν· οὐ λέληθεν γάρ με, εἰ καὶ μάλα περικρύπτεις αὐτά. καὶ τὸ ψεῦδος δὲ ἀπόθου καὶ τὸν τῦφον καὶ τὸ οἴεσθαι ἀμείνων εἶναι τῶν ἄλλων· ὡς εἴ γε ταῦτα πάντα ἔχων ἐμβαίης, ποία πεντηκόντορος δέξαιτο ἄν σε;

Ῥίψε πρῶτα ἐσὺ κάτω τὴν περιβολὴ καὶ ἔπειτα ὅλα τὰ ἄλλα. Ὦ Ζεῦ, πόση ἀλαζονεία κομίζει, πόση ἀμάθεια καὶ ἔριδα καὶ κενοδοξία καὶ ἐρωτήσεις δίχως ἀπαντήσεις καὶ λόγους ἀκανθώδεις καὶ ἔννοιες πολύπλοκες, ἀλλὰ καὶ ἀρκετὴ ματαιοπονία καὶ ἀνοησία οὐκ ὀλίγη καὶ φλυαρίες καὶ μικρολογία, μὰ τὸν Δία, καὶ τόσο χρῆμα καὶ φιληδονία καὶ ἀναισχυντία καὶ ὀργὴ καὶ τρυφὴ καὶ μαλθακότητα! Δὲν μοῦ ἔχουν διαφύγει τῆς προσοχῆς, ἂν καὶ πολὺ τὰ κρύβεις. Καὶ τὸ ψεῦδος ἀπόθεσε καὶ τὴν ἀλαζονεία καὶ τὸ νὰ νομίζῃς ὅτι εἶσαι καλλίτερος τῶν ἄλλων. Ὥστε ἐὰν βεβαίως μπῇς ἔχοντας ὅλα αὐτά, ὁποία πεντηκόντορος[149] θὰ μπορούσε νὰ σὲ δεχθῇ;

{ΦΙΛΟΣΟΦΟΣ} *Ἀποτίθεμαι τοίνυν αὐτά, ἐπείπερ οὕτω κελεύεις.*

Γι’ αὐτὸν τὸν λόγο λοιπὸν τὰ ἀποθέτω, ἐπειδὴ πράγματι ἔτσι προστάζεις.

{ΜΕΝΙΠΠΟΣ} *Ἀλλὰ καὶ τὸν πώγωνα τοῦτον ἀποθέσθω, ὦ Ἑρμῆ, βαρύν τε ὄντα καὶ λάσιον, ὡς ὁρᾷς· πέντε μναῖ τριχῶν εἰσι τοὐλάχιστον.*

Ἀλλὰ καὶ αὐτὴν τὴν γενειάδα νὰ ἀποθέσῃ, Ἑρμῆ, καθὼς εἶναι καὶ βαρεῖα καὶ δασεῖα, ὅπως βλέπεις. Πέντε μνῶν[150] τρίχες εἶναι τουλάχιστον.

{ΕΡΜΗΣ} *Εὖ λέγεις· ἀπόθου καὶ τοῦτον.*

Καλὰ λές. Ἀπόθεσε καὶ αὐτήν.

{ΦΙΛΟΣΟΦΟΣ} *Καὶ τίς ὁ ἀποκείρων ἔσται;*

Καὶ ποιός θὰ εἶναι αὐτὸς ποὺ θὰ τὴν κόψῃ;

{ΕΡΜΗΣ} *Μένιππος οὑτοσὶ λαβὼν πέλεκυν τῶν ναυπηγικῶν ἀποκόψει αὐτὸν ἐπικόπῳ τῇ ἀποβάθρᾳ χρησάμενος.*

---

[149] Ὑπῆρξε ὁ βασικότερος τύπος πλοίου τῶν ἀρχαϊκῶν χρόνων, συνέχισε ὅμως νὰ εὑρίσκεται σὲ ὑπηρεσία καὶ κατὰ τοὺς κλασικοὺς χρόνους. Διέθετε 50 κωπηλάτες καὶ ἐχρησιμοποιεῖτο ἐκτὸς ἀπὸ τὶς πολεμικὲς ἐπιχειρήσεις καὶ γιὰ τὴν μεταφορὰ στρατευμάτων ἢ ὑλικῶν. Μὲ πλοῖα τέτοιου τύπου κατὰ πᾶσαν πιθανότητα ἐπῆγαν οἱ Ἀχαιοὶ στὴν Τροία.

[150] Ἡ μία μνᾶς ἰσοῦται μὲ 438 γραμμάρια.

Αὐτὸς ἐδῶ ὁ Μένιππος, ἀφοῦ λάβῃ πέλεκυν ἀπὸ τοὺς ναυπηγικούς, θὰ τὴν κόψῃ χρησιμοποιώντας ὡς ξύλο κοπῆς τὴν σανίδα.

{ΜΕΝΙΠΠΟΣ} *Οὔκ, ὦ Ἑρμῆ, ἀλλὰ πρίονά μοι ἀνάδος· γελοιότερον γὰρ τοῦτο.*

Ὄχι, Ἑρμῆ, ἀλλὰ δῶσε μου πριόνι. Διότι εἶναι πιὸ ἀστεῖο αὐτό.

{ΕΡΜΗΣ} *Ὁ πέλεκυς ἱκανός. εὖ γε. ἀνθρωπινώτερος νῦν ἀναπέφηνας ἀποθέμενος σαυτοῦ τὴν κινάβραν.*

Ὁ πέλεκυς [εἶναι] ἀρκετός. Εὖγε! Τώρα ἔχεις φανερωθῇ πιὸ ἀνθρώπινος ἀποθέτοντας τὴν τραγίλα[151] σου.

{ΜΕΝΙΠΠΟΣ} *Βούλει μικρὸν ἀφέλωμαι καὶ τῶν ὀφρύων;*

Θέλεις νὰ ἀφαιρέσω καὶ ὀλίγον ἀπὸ τὰ φρύδια;

{ΕΡΜΗΣ} *Μάλιστα· ὑπὲρ τὸ μέτωπον γὰρ καὶ ταύτας ἐπῆρκεν, οὐκ οἶδα ἐφ᾽ ὅτῳ ἀνατείνων ἑαυτόν. τί τοῦτο; καὶ δακρύεις, ὦ κάθαρμα, καὶ πρὸς θάνατον ἀποδειλιᾷς; ἔμβηθι δ᾽ οὖν.*

Περισσότερο. Διότι τὰ ἀνασηκώνει καὶ αὐτὰ ἐπάνω ἀπὸ τὸ μέτωπο[152], καὶ δὲν ξέρω περὶ ποίου πράγματος κορδώνεται. Γιατί αὐτὸ; Δακρύζεις κι ὅλας, κάθαρμα, καὶ μπροστὰ στὸν θάνατον δειλιάζεις; Ἐπιβιβάσου λοιπόν.

{ΜΕΝΙΠΠΟΣ} *Ἓν ἔτι τὸ βαρύτατον ὑπὸ μάλης ἔχει.*

Ἕνα ἀκόμα ἔχει, κάτω ἀπὸ τὴν μασχάλη, τὸ βαρύτερο.

{ΕΡΜΗΣ} *Τί, ὦ Μένιππε;*

Τί, Μένιππε;

{ΜΕΝΙΠΠΟΣ} *Κολακείαν, ὦ Ἑρμῆ, πολλὰ ἐν τῷ βίῳ χρησιμεύσασαν αὐτῷ.*

Τὴν κολακεία, Ἑρμῆ, ἡ ὁποία σὲ πολλὰ τοῦ ἐχρησίμευσε στὴν ζωή του.

---

[151] Ἐννοεῖ τὴν δυσοσμία ἀπὸ τὴν σῆψιν τοῦ σώματος.

[152] Τὸ σήκωμα τῶν φρυδιῶν δηλώνει ὑπερηφάνεια, ἔπαρσιν καὶ ἀλαζονεία.

{ΦΙΛΟΣΟΦΟΣ} *Οὐκοῦν καὶ σύ, ὦ Μένιππε, ἀπόθου τὴν ἐλευθερίαν καὶ παρρησίαν καὶ τὸ ἄλυπον καὶ τὸ γενναῖον καὶ τὸν γέλωτα· μόνος γοῦν τῶν ἄλλων γελᾷς.*

Λοιπὸν καὶ ἐσύ, Μένιππε, ἀπόθεσε τὴν ἐλευθερίαν καὶ τὴν παρρησίαν καὶ τὸ ἄλυπον καὶ τὸ γενναῖον καὶ τὸ γέλιο. [Εἶσαι] ὁ μόνος ποὺ γελᾷς ἀπὸ τοὺς ἄλλους.

{ΕΡΜΗΣ} *Μηδαμῶς, ἀλλὰ καὶ ἔχε ταῦτα, κοῦφα γὰρ καὶ πάνυ εὔφορα ὄντα καὶ πρὸς τὸν κατάπλουν χρήσιμα. καὶ ὁ ῥήτωρ δὲ σὺ ἀπόθου τῶν ῥημάτων τὴν τοσαύτην ἀπεραντολογίαν καὶ ἀντιθέσεις καὶ παρισώσεις καὶ περιόδους καὶ βαρβαρισμοὺς καὶ τὰ ἄλλα βάρη τῶν λόγων.*

Μὲ κανένα τρόπο. Ἀλλὰ ἔχε καὶ αὐτά, διότι [εἶναι] ἐλαφρὰ καὶ σηκώνονται πολὺ εὔκολα καὶ γιὰ τὸν κατάπλουν χρήσιμα. Καὶ ἐσὺ ὁ ῥήτωρ ἀπόθεσε τὴν τόση ἀπεραντολογία τῶν λόγων καὶ τὶς ἀντιθέσεις καὶ τὶς ἐξισώσεις καὶ τὶς περιόδους καὶ τοὺς βαρβαρισμοὺς καὶ τὰ ἄλλα βάρη τῶν λόγων.

{ΡΗΤΩΡ} *Ἢν ἰδού, ἀποτίθεμαι.*

Ἰδοὺ λοιπόν, τὰ ἀφήνω κάτω.

{ΕΡΜΗΣ} *Εὖ ἔχει· ὥστε λύε τὰ ἀπόγεια, τὴν ἀποβάθραν ἀνελώμεθα, τὸ ἀγκύριον ἀνεσπάσθω, πέτασον τὸ ἱστίον, εὔθυνε, ὦ πορθμεῦ, τὸ πηδάλιον· εὐπλοῶμεν. τί οἰμώζετε, ὦ μάταιοι, καὶ μάλιστα ὁ φιλόσοφος σὺ ὁ ἀρτίως τὸν πώγωνα δεδῃωμένος;*

Ἔχει καλῶς. Ὥστε λύσε τὰ παλαμάρια, ἂς σηκώσουμε τὴν σανίδα, τράβηξε ἐπάνω τὴν μικρὴ ἄγκυρα, ἅπλωσε τὸ ἱστίον, διεύθυνε, πορθμέα, τὸ πηδάλιον. Ἂς ἔχουμε καλὸν πλοῦν. Γιατί θρηνεῖτε φωνάζοντας, μάταιοι, καὶ μάλιστα ἐσὺ ὁ φιλόσοφος, αὐτὸς ποὺ μόλις ἐξύρισε τὴν γενειάδα;

{ΦΙΛΟΣΟΦΟΣ} *Ὅτι, ὦ Ἑρμῆ, ἀθάνατον ᾤμην τὴν ψυχὴν ὑπάρχειν.*

Διότι, Ἑρμῆ, ἐνόμιζα ὅτι ἀθάνατη εἶναι ἡ ψυχή.

{ΜΕΝΙΠΠΟΣ} *Ψεύδεται· ἄλλα γὰρ ἔοικε λυπεῖν αὐτόν.*

Ψεύδεται. Ἐπειδὴ ἄλλα φάνηκαν νὰ τὸν λυποῦν.

{ΕΡΜΗΣ} *Τὰ ποῖα;*

Τὰ ποιά;

{ΜΕΝΙΠΠΟΣ} *Ὅτι μηκέτι δειπνήσει πολυτελῆ δεῖπνα μηδὲ νύκτωρ ἐξιὼν ἅπαντας λανθάνων τῷ ἱματίῳ τὴν κεφαλὴν κατειλήσας περίεισιν ἐν κύκλῳ τὰ χαμαιτυπεῖα, καὶ ἕωθεν ἐξαπατῶν τοὺς νέους ἐπὶ τῇ σοφίᾳ ἀργύριον λήψεται· ταῦτα λυπεῖ αὐτόν.*

Ὅτι ποτὲ πιὰ δὲν θὰ δειπνήσῃ σὲ πολυτελῆ δεῖπνα, οὔτε θὰ βγαίνῃ νύκτα καὶ θὰ περιέρχεται γύρω-γύρω τὰ πορνεῖα, τυλίγοντας τὸ κεφάλι μὲ τὸ ἱμάτιον γιὰ νὰ διαφύγῃ τῆς προσοχῆς ὅλων, οὔτε ἀπὸ τὰ χαράματα θὰ λάβῃ χρήματα ἐξαπατώντας τοὺς νέους στὴν σοφία. Αὐτὰ τὸν λυποῦν.

{ΦΙΛΟΣΟΦΟΣ} *Σὺ γάρ, ὦ Μένιππε, οὐκ ἄχθῃ ἀποθανών;*

Ἐσύ, Μένιππε, δὲν στενοχωρεῖσαι ποὺ πέθανες;

{ΜΕΝΙΠΠΟΣ} *Πῶς, ὃς ἔσπευσα ἐπὶ τὸν θάνατον καλέσαντος μηδενός; ἀλλὰ μεταξὺ λόγων οὐ κραυγή τις ἀκούεται ὥσπερ τινῶν ἀπὸ γῆς βοώντων;*

Πῶς, ἐγὼ ὁ ὁποῖος ἔσπευσα πρὸς τὸν θάνατον χωρὶς νὰ μὲ καλέσῃ κανείς[153]; Ἀλλὰ μεταξὺ τῶν λόγων δὲν ἀκούγεται κάποια κραυγὴ σὰν νὰ φωνάζουν κάποιοι ἀπὸ τὴν γῆ;

{ΕΡΜΗΣ} *Ναί, ὦ Μένιππε, οὐκ ἀφ' ἑνός γε χώρου, ἀλλ' οἱ μὲν εἰς τὴν ἐκκλησίαν συνελθόντες ἄσμενοι γελῶσι πάντες ἐπὶ τῷ Λαμπίχου θανάτῳ καὶ ἡ γυνὴ αὐτοῦ συνέχεται πρὸς τῶν γυναικῶν καὶ τὰ παιδία νεογνὰ ὄντα ὁμοίως κἀκεῖνα ὑπὸ τῶν παίδων βάλλεται ἀφθόνοις τοῖς λίθοις· ἄλλοι δὲ Διόφαντον τὸν ῥήτορα ἐπαινοῦσιν ἐν Σικυῶνι ἐπιταφίους λόγους διεξιόντα ἐπὶ Κράτωνι τούτῳ. καὶ νὴ Δία γε ἡ Δαμασίου μήτηρ κωκύουσα ἐξάρχει τοῦ θρήνου σὺν γυναιξὶν ἐπὶ τῷ Δαμασίᾳ· σὲ δὲ οὐδείς, ὦ Μένιππε, δακρύει, καθ' ἡσυχίαν δὲ κεῖσαι μόνος.*


Ναί, Μένιππε, ὄχι ἀπὸ ἕναν χῶρο βεβαίως, ἀλλὰ οἱ μὲν ἔχοντας μαζευτῇ εἰς τὴν ἐκκλησίαν [τοῦ Δήμου], χαρούμενοι, γελοῦν ὅλοι μὲ τὸν θάνατον τοῦ Λαμπίχου καὶ ἡ γυναίκα του εὑρίσκεται σὲ συμπλοκὴ μὲ τὶς γυναῖκες, καὶ τὰ παιδιὰ, ποὺ εἶναι νεογέννητα, ὁμοίως καὶ ἐκεῖνα ἀπὸ τὰ παιδιά πετροβολοῦνται μὲ ἄφθονες πέτρες. Ἄλλοι δὲ τὸν Διόφαντο τὸν ῥήτορα ἐπαινοῦν, στὴν Σικυῶνα, ποὺ ἐδιάβασε ἐπιταφίους λόγους γιὰ τοῦτον τὸν Κράτωνα. Καὶ μὰ τὸν Δία, ἡ μητέρα τοῦ Δαμασίου

[153] Ὁ Μένιππος αὐτοκτόνησε μὲ ἀπαγχονισμό.

εἶναι ἀρχηγὸς τοῦ θρήνου μαζὶ μὲ τὶς γυναῖκες ἐπάνω ἀπὸ τὸν Δαμασία. Γιὰ ἐσένα, Μένιππε, κανεὶς δὲν δακρύζει, ἀλλὰ σὲ ἡσυχία κεῖσαι μόνος.

{ΜΕΝΙΠΠΟΣ} *Οὐδαμῶς, ἀλλ᾽ ἀκούσῃ τῶν κυνῶν μετ᾽ ὀλίγον ὠρυομένων οἴκτιστον ἐπ᾽ ἐμοὶ καὶ τῶν κοράκων τυπτομένων τοῖς πτεροῖς, ὁπόταν συνελθόντες θάπτωσί με.*

Κάθε ἄλλο, ἀλλὰ θὰ ἀκούσῃς μετὰ ἀπὸ λίγο τοὺς σκύλους νὰ ὠρύωνται ἐλεεινότατα γιὰ ἐμένα καὶ τὰ κοράκια νὰ κτυποῦν τὰ πτερά[154], ὅταν ερχόμενοι μαζὶ θὰ μὲ θάψουν.



{ΕΡΜΗΣ} *Γεννάδας εἶ, ὦ Μένιππε. ἀλλ᾽ ἐπεὶ καταπεπλεύκαμεν ἡμεῖς, ὑμεῖς μὲν ἄπιτε πρὸς τὸ δικαστήριον εὐθεῖαν ἐκείνην προϊόντες, ἐγὼ δὲ καὶ ὁ πορθμεὺς ἄλλους μετελευσόμεθα.*

Γενναιόφρων εἶσαι, Μένιππε. Ἐπειδὴ ὅμως ἐμεῖς ἔχουμε εἰσέλθει εἰς τὸν λιμένα, ἐσεῖς μὲν νὰ πάτε πρὸς τὸ δικαστήριον προχωρώντας σὲ ἐκείνην τὴν εὐθεῖαν, ἐγὼ δὲ καὶ ὁ προθμεὺς θὰ πᾶμε νὰ φέρουμε ἄλλους.

[154] Μὲ τὴν φράσιν αὐτὴν γίνεται εἰρωνικὴ ἀναφορὰ στὴν συνήθεια τῆς στερνοτυπίας τῶν γυναικῶν λόγῳ πένθους. Ἡ ἀντίδρασις αὐτὴ ὡς ἔκφρασις πένθους ἀπαντάται στὴν Ἰλιάδα, στὸν θρῆνο γιὰ τὸν θάνατον τοῦ Πατρόκλου, ἐπεβίωσε δὲ καὶ στὰ μεταγενέστερα χρόνια.

{ΜΕΝΙΠΠΟΣ} *Εὐπλοεῖτε, ὦ Ἑρμῆ· προΐωμεν δὲ καὶ ἡμεῖς. τί οὖν ἔτι καὶ μέλλετε; δικασθῆναι δεήσει, καὶ τὰς καταδίκας φασὶν εἶναι βαρείας, τροχοὺς καὶ λίθους καὶ γῦπας· δειχθήσεται δὲ ὁ ἑκάστου βίος.*

Νὰ ἔχετε καλὸν πλοῦν, Ἑρμῆ. Ἂς προχωρήσουμε καὶ ἐμεῖς. Γιατί λοιπὸν χρονοτριβεῖτε; Θὰ εἶναι ἀναγκαῖον νὰ δικαστοῦμε καὶ λένε ὅτι οἱ καταδίκες εἶναι βαρεῖες, τροχοὶ[155] καὶ λίθοι[156] καὶ γύπες. Θὰ φανερωθῆ ὅμως ὁ βίος ἑκάστου.



[155] Ἀναφέρεται στὴν τιμωρία τοῦ Ἰξίονος. Υἱὸς τοῦ Φλεγύου, βασιλεὺς τῶν Λαπιθῶν ἢ υἱὸς τοῦ Ἄρεως καὶ τῆς Περιμήλης, πατὴρ τοῦ Πειρίθου, τὸν ὁποῖον ἐφόνευσε ρίπτοντάς τον μέσα σὲ τάφο ὅπου εἶχε ἀνάψει μεγάλη φωτιὰ ἐπειδὴ ὁ πεθερὸς του Δηϊονεὺς ἀπαιτοῦσε τὰ γαμήλια δῶρα τὰ ὁποῖα εἶχε ὑποσχεθῆ ὁ Ἰξίων νυμφευόμενος τὴν Δία. Κατὰ τὴν παράδοσιν, ὑπῆρξε ὁ πρῶτος ἀνθρωποκτόνος. Μετὰ τὸ ἔγκλημά του κανεὶς δὲν τὸν ἐδέχετο καὶ οἱ ὑπήκοοί του τὸν ἐδίωξαν ἀπὸ τὸ βασίλειό του καὶ περιεπλανᾶτο σὲ ὅλην τὴν γῆ. Τὸν ἐλυπήθη ὁ Ζεὺς καὶ ὄχι μόνον τὸν συνεχώρησε ἀλλὰ τοῦ ἔδωσε πλούτη καὶ τὸν ἐκάλεσε στὸ τραπέζι τῶν θεῶν. Ἐκεῖ ὁ Ἰξίων ἐπόθησε τὴν Ἥρα καὶ ἐτόλμησε νὰ τὴν καταδιώξῃ. Ἡ Ἥρα τὸν κατήγγειλε στὸν Δία καὶ αὐτὸς γιὰ νὰ πεισθῆ ὅτι ἡ Ἥρα δὲν ἔλεγε ψέμματα, ἔδωσε στὴν Νεφέλη τὴν μορφή της καὶ ὁ Ἰξίων συνευρέθη μὲ αὐτήν. Ἀπὸ τὴν ἕνωσιν αὐτὴν προῆλθε ὁ Κένταυρος. Ἀγανακτισμένος ὁ Ζεὺς τὸν ἔδεσε σὲ ἱπτάμενο τροχὸ ὁ ὁποῖος περιφέρεται ἀενάως στὸν αἰθέρα ἢ στὸν τροχὸ τοῦ Ταρτάρου ἐπάνω ἀπὸ φλόγες.

[156] Ἀναφέρεται στὴν τιμωρία τοῦ Σισύφου. Ἦτο βασιλεὺς τῆς Κορίνθου, υἱὸς τοῦ Αἰόλου καὶ τῆς Ἐναρέτης, κόρης τοῦ Ἄτλαντος. Ὁ Ζεὺς θέλοντας νὰ τὸν τιμωρήσῃ ἐπειδὴ ἀπεκάλυψε στὸν Ἀσωπὸ τὴν ὑπὸ τοῦ Διὸς ἁρπαγὴ τῆς κόρης του, τοῦ ἔστειλε τὸν Θάνατον, τὸν ὁποῖον ὅμως κατάφερε νὰ δέσῃ. Ἀφοῦ τὸν ἐλευθέρωσε ὁ Ἄρης, ὑποχρέωσε τὸν Σίσυφο νὰ τὸν ἀκολουθήσῃ στὸν Ἅδη. Ἐκεῖνος ἔβαλε τὴν γυναῖκα του νὰ τοῦ ὑποσχεθῆ ὅτι δὲν θὰ τοῦ ἀπέδιδε τὶς πρέπουσες τιμές. Ἔτσι, κατεβαίνοντας στὸν Ἅδη ἐζήτησε νὰ ἐπανέλθῃ στὴν ζωὴ γιὰ μία ἡμέρα προκειμένου νὰ τιμωρήσῃ δῆθεν τὴν σύζυγό του ἡ ὁποία τελικῶς δὲν ἐκράτησε τὴν ὑπόσχεσίν της. Δὲν ἐπέστρεψε ὅμως στὸν Ἅδη καὶ ὁ Ἑρμῆς τὸν ὡδήγησε βιαίως. Γιὰ τιμωρία κατεδικάσθη νὰ προσπαθῆ ἀδιάκοπα νὰ ἀνεβάσῃ ἕναν πελώριο βράχο στὴν κορυφὴ ὑψηλοῦ ὄρους χωρὶς ποτὲ νὰ τὸ ἐπιτυγχάνῃ, διότι κάθε φορὰ ποὺ ἐπλησίαζε τὴν κορυφή, ὁ βράχος κυλοῦσε πίσω καὶ ἔφθανε εἰς τὸ σημεῖον τῆς ἀφετηρίας.

ΚΡΑΤΗΤΟΣ ΚΑΙ ΔΙΟΓΕΝΟΥΣ

{ΚΡΑΤΗΣ} *Μοίριχον τὸν πλούσιον ἐγίνωσκες, ὦ Διόγενες, τὸν πάνυ πλούσιον, τὸν ἐκ Κορίνθου, τὸν τὰς πολλὰς ὁλκάδας ἔχοντα, οὗ ἀνεψιὸς Ἀριστέας, πλούσιος καὶ αὐτὸς ὤν, τὸ Ὁμηρικὸν ἐκεῖνο εἰώθει ἐπιλέγειν, 'ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ'.*

Ἐγνώριζες, Διογένη, τὸν Μοίριχο τὸν πλούσιον, τὸν πολὺ πλούσιον, τὸν Κορίνθιο, αὐτὸν ποὺ ἔχει τὰ πολλὰ φορτηγὰ πλοῖα, τοῦ ὁποίου ἐξάδελφος [εἶναι] ὁ Ἀριστέας, ποὺ εἶναι καὶ ὁ ἴδιος πλούσιος, ἐκεῖνο τὸ ὁμηρικὸν συνήθιζε νὰ λέῃ ὡς εὐχὴ καὶ κατάρα: «Ἢ ἐσὺ θὰ μὲ σηκώσῃς ἢ ἐγὼ ἐσένα[157]».

{ΔΙΟΓΕΝΗΣ} *Τίνος ἕνεκα, ὦ Κράτης;*

Ἕνεκα ποίου, Κράτη[158];

{ΚΡΑΤΗΣ} *Ἐθεράπευον ἀλλήλους τοῦ κλήρου ἕνεκα ἑκάτερος ἡλικιῶται ὄντες, καὶ τὰς διαθήκας εἰς τὸ φανερὸν ἐτίθεντο, Ἀριστέαν μὲν ὁ Μοίριχος, εἰ προαποθάνοι, δεσπότην ἀφιεὶς τῶν ἑαυτοῦ πάντων, Μοίριχον δὲ ὁ Ἀριστέας, εἰ προαπέλθοι αὐτοῦ. ταῦτα μὲν ἐγέγραπτο, οἱ δὲ ἐθεράπευον ὑπερβαλλόμενοι ἀλλήλους τῇ κολακείᾳ. καὶ οἱ μάντεις, εἴτε ἀπὸ τῶν ἄστρων τεκμαιρόμενοι τὸ μέλλον εἴτε ἀπὸ τῶν ὀνειράτων, ὥς γε Χαλδαίων παῖδες, ἀλλὰ καὶ ὁ Πύθιος αὐτὸς ἄρτι μὲν Ἀριστέᾳ παρεῖχε τὸ κράτος, ἄρτι δὲ Μοιρίχῳ, καὶ τὰ τάλαντα ποτὲ μὲν ἐπὶ τοῦτον, νῦν δ' ἐπ' ἐκεῖνον ἔρρεπε.*

Ἐφρόντιζον ὁ ἕνας τὸν ἄλλον ὄντες συνομήλικοι, ὁ καθεὶς ἕνεκα τῆς περιουσίας, καὶ συνέθετον τὶς διαθῆκες στὰ φανερά, ὁ μὲν Μοίριχος, ἐὰν ἀπέθνησκε ἐνωρίτερα, ἀφήνοντας τὸν Ἀριστέα κύριον ὅλης της περιουσίας του, ἐνῷ ὁ Ἀριστέας τὸν

[157] Μετὰ τὸν θάνατον τοῦ Πατρόκλου, ὁ Ἀχιλλεὺς διοργανώνει ἀθλητικοὺς ἀγῶνες εἰς μνήμην του. Στὸ ἀγώνισμα τῆς πάλης συμμετέχουν ὁ Αἴας ὁ Τελαμώνιος καὶ ὁ Ὀδυσσεύς. Ἐπειδὴ ὁ ἀγὼν διαρκεῖ πολλὴ ὥρα χωρὶς νικητή, καὶ οἱ Ἀχαιοὶ ἔχουν ἀρχίσει νὰ βαριοῦνται, ὁ Αἴας λέει αὐτὴν τὴν φράσιν (Ὁμ. Ἰλ. Ψ 724) στὸν Ὀδυσσέα καὶ τὸν σηκώνει απὸ τὸ ἔδαφος. Ὁ Ὀδυσσεὺς ὅμως, μὲ πονηριὰ, λακτίζει τὸν ἀντίπαλό του πίσω ἀπὸ τὸ γόνατο καὶ ἐν συνεχείᾳ θέτει τὸ γόνατό του ἀνάμεσα στὰ πόδια του, μὲ ἀποτέλεσμα νὰ χάσῃ ὁ Αἶας τὴν ἰσορροπία του καὶ νὰ πέσῃ κάτω ἀνάσκελα, ἐνῷ ὁ Ὀδυσσεὺς πέφτει ἐπάνω του. Ἔπειτα προσπαθεῖ ὁ Ὀδυσσεὺς νὰ σηκώσῃ τὸν Αἴαντα, ἀλλὰ τὸ μόνον ποὺ καταφέρνει εἶναι νὰ πέσουν καὶ οἱ δύο στὸ ἔδαφος. Ὁ Ἀχιλλεὺς κρίνει τὸν ἀγῶνα ἰσόπαλο (Ὁμ. Ἰλ. Ψ 706-737).

[158] Θηβαῖος κυνικὸς φιλόσοφος, ὁ σπουδαιότερος μαθητὴς τοῦ Διογένους τοῦ Σινωπέως. Ἀφοῦ ἐμοίρασε τὰ ὑπάρχοντά του στὸ Κοινόν τῶν Θηβῶν, ἐνυμφεύθη τὴν Ἱππαρχία, νέα μὲ δυνατὸ χαρακτῆρα, ἀπὸ οἰκογένεια εὐγενῶν, ἡ ὁποία ὅμως ἦτο πρόθυμη νὰ ζῇ ὅπως καὶ ἐκεῖνος. Ἡ διδασκαλία του ἦτο κήρυγμα τοῦ πλέον αὐστηροῦ κυνισμοῦ.

Μοίριχο, ἐὰν ἔφευγε πρὶν ἀπὸ αὐτόν. Αὐτὰ εἶχαν γραφῆ καὶ αὐτοὶ ἐφρόντιζον ξεπερνώντας ὁ ἕνας τὸν ἄλλον ὡς πρὸς τὴν κολακεία. Καὶ οἱ μάντεις, συμπεραίνοντας τὸ μέλλον εἴτε ἀπὸ τὰ ἄστρα εἴτε ἀπὸ τὰ ὄνειρα, ὅπως βεβαίως οἱ Χαλδαῖοι[159], ἀλλὰ καὶ ὁ ἴδιος ὁ Πύθιος[160], μία μὲν παρεῖχε τὴν ῥώμην στὸν Ἀριστέα, μία δὲ στὸν Μοίριχο καὶ ἔκλινε τὶς πλάστιγγες τῆς ζυγαριᾶς πότε μὲν σὲ αὐτόν, πότε δὲ σὲ ἐκεῖνον.

{ΔΙΟΓΕΝΗΣ} *Τί οὖν πέρας ἐγένετο, ὦ Κράτης; ἀκοῦσαι γὰρ ἄξιον.*

Τί ἔγινε λοιπὸν στὸ τέλος, Κράτη; Διότι ἀξίζει νὰ ἀκούσω.

{ΚΡΑΤΗΣ} *Ἄμφω τεθνᾶσιν ἐπὶ μιᾶς ἡμέρας, οἱ δὲ κλῆροι εἰς Εὐνόμιον καὶ Θρασυκλέα περιῆλθον ἄμφω συγγενεῖς ὄντας οὐδὲ πώποτε προμαντευομένους οὕτω γενέσθαι ταῦτα· διαπλέοντες γὰρ ἀπὸ Σικυῶνος εἰς Κίρραν κατὰ μέσον τὸν πόρον πλαγίῳ περιπεσόντες τῷ Ἰάπυγι ἀνετράπησαν.*

Πέθαναν καὶ οἱ δύο τὴν ἴδια ἡμέρα, οἱ δὲ περιουσίες τους περιῆλθον στὸν Εὐνόμιο καὶ τὸν Θρασυκλέα ποὺ ἦσαν καὶ οἱ δύο συγγενεῖς, χωρὶς νὰ τοὺς ἔχει δοθῇ ποτὲ χρησμὸς ὅτι ἔτσι θὰ γίνονταν αὐτά. Καθὼς ἔπλεαν ἀπὸ Σικυῶνα εἰς Κίρραν[161] κατὰ μέσον τοῦ πελάγους, ἀφοῦ ἔπεσαν πλαγίως ἐπάνω στὸν Ἰάπυγο[162], ἀνετράπησαν.

{ΔΙΟΓΕΝΗΣ} *Εὖ ἐποίησαν. ἡμεῖς δὲ ὁπότε ἐν τῷ βίῳ ἦμεν, οὐδὲν τοιοῦτον ἐνενοοῦμεν περὶ ἀλλήλων· οὔτε πώποτε ηὐξάμην Ἀντισθένην ἀποθανεῖν, ὡς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ -εἶχε δὲ πάνυ καρτερὰν ἐκ κοτίνου*

[159] Σύμφωνα μὲ τὸν Διογένη τὸν Λαέρτιο: «Οἱ Χαλδαῖοι ἀσχολοῦνται μὲ τὴν ἀστρονομία καὶ τὴν μαντεία» (Ἱστορικὴ Βιβλιοθήκη, Βιβλίον 2ον 29,2,1).

[160] Πύθιος Ἀπόλλων. Ἕνα ἀπὸ τὰ πολλὰ ἐπίθετα τοῦ Ἀπόλλωνος. Τὸ ἀρχαιότερον ὄνομα τῆς τοποθεσίας τῶν Δελφῶν ἦτο «Πυθώ», τὸ ὁποῖον χρησιμοποιεῖ καὶ ὁ Ὅμηρος. Ὁρισμένοι λένε ὅτι προέρχεται ἀπὸ τὸ ῥῆμα «πυνθάνομαι»= ζητῶ νὰ μάθω, πληροφοροῦμαι, καὶ ἄλλοι ἀπὸ τὸ «πύθω»= σαπίζω, διότι ὁ φονευθείς, ὑπὸ τοῦ Ἀπόλλωνος, δράκων Πύθων ἐκεῖ «ἐσάπισε».

[161] Ἡ ἀρχαία Κίρρα εὑρίσκεται στὸν κόλπο τῆς Ἰτέας, στὴν ἔξοδο τῆς κοιλάδος τοῦ Πλειστοῦ ποταμοῦ πρὸς τὸν Κορινθιακὸ κόλπο. Ὑπῆρξε ἐπίνειο τῶν Δελφῶν.

[162] Ἰάπυξ, υἱὸς τοῦ Λυκάονος ἢ τοῦ Δαιδάλου, κατὰ μίαν ἐκδοχὴ ἀρχηγὸς ὁμάδος Κρητῶν ἡ ὁποία ἀκολούθησε τὸν Μίνωα στὴν Σικελία. Μετὰ τὸν θάνατον τοῦ Μίνωος, οἱ Κρῆτες θέλησαν νὰ ἐπιστρέψουν στὴν πατρίδα τους, ἀλλὰ ἡ τρικυμία τοὺς ἔρριψε στὴν Νότιον Ἰταλία. Ἐκεῖ, κοντὰ στὸν Τάραντα, ἵδρυσαν ἀποικία, τὴν Ἰαπυγία. Στὸ κείμενον, τὸ ὄνομα τοῦ Ἰάπυγος νοεῖται ὡς συνώνυμον τοῦ νοτιοδυτικοῦ ἀνέμου.

ποιησάμενος- οὔτε οἶμαι σὺ ὁ Κράτης ἐπεθύμεις κληρονομεῖν ἀποθανόντος ἐμοῦ τὰ κτήματα καὶ τὸν πίθον καὶ τὴν πήραν χοίνικας δύο θέρμων ἔχουσαν.

Καλὰ ἔπαθον. Ὅταν ἐμεῖς ἤμασταν ἐν ζωῇ δὲν εἴχαμε κατὰ νοῦν τίποτε τέτοιο περὶ ἀλλήλων. Οὔτε εὐχήθηκα ποτὲ νὰ πεθάνῃ ὁ Ἀντισθένης[163], γιὰ νὰ κληρονομήσω τὴν μαγκούρα του -εἶχε [μία] πολὺ γερή, φτιαγμένη ἀπὸ ἀγριελιὰ- οὔτε νομίζω ἐσὺ ὁ Κράτης ἐπιθυμοῦσες, ἀφοῦ πέθαινα ἐγώ, νὰ κληρονομήσῃς τὰ ἀποκτήματα καὶ τὸ πιθάρι καὶ τὸ σακούλι ποὺ ἔχει χῶρο γιὰ δύο λούπινα.

{ΚΡΑΤΗΣ} *Οὐδὲν γάρ μοι τούτων ἔδει, ἀλλ' οὐδὲ σοί, ὦ Διόγενες· ἃ γὰρ ἐχρῆν, σύ τε Ἀντισθένους ἐκληρονόμησας καὶ ἐγὼ σοῦ, πολλῷ μείζω καὶ σεμνότερα τῆς Περσῶν ἀρχῆς.*

Ἐπειδὴ δὲν εἶχα ἀνάγκη τίποτε ἐξ αὐτῶν, ἀλλὰ οὔτε ἐσύ, Διογένη. Ἐσὺ ἐκληρονόμησες ἀπὸ τὸν Ἀντισθένη αὐτὰ τὰ ὁποῖα ἔπρεπε, καὶ ἐγὼ ἀπὸ ἐσένα, πολλὰ περισσότερα καὶ σπουδαιότερα ἀπὸ τὴν ἐξουσία τῶν Περσῶν.

{ΔΙΟΓΕΝΗΣ} *Τίνα ταῦτα φῄς;*

Ποιὰ λὲς [ὅτι εἶναι] αὐτά;

{ΚΡΑΤΗΣ} *Σοφίαν, αὐτάρκειαν, ἀλήθειαν, παρρησίαν, ἐλευθερίαν.*

Σοφία, αὐτάρκεια, ἀλήθεια, παρρησία, ἐλευθερία.

{ΔΙΟΓΕΝΗΣ} *Νὴ Δία, μέμνημαι τοῦτον διαδεξάμενος τὸν πλοῦτον παρὰ Ἀντισθένους καὶ σοὶ ἔτι πλείω καταλιπών.*

Μὰ τὸν Δία, θυμοῦμαι ὅτι ἐκληρονόμησα ἀπὸ τὸν Ἀντισθένη τοῦτον τὸν πλοῦτον καὶ ἄφησα ἀκόμα περισσότερα σὲ ἐσένα.

{ΚΡΑΤΗΣ} *Ἀλλ' οἱ ἄλλοι ἠμέλουν τῶν τοιούτων κτημάτων καὶ οὐδεὶς ἐθεράπευεν ἡμᾶς κληρονομήσειν προσδοκῶν, εἰς δὲ τὸ χρυσίον πάντες ἔβλεπον.*

---

[163] Ἕλλην φιλόσοφος. Μαθητὴς ἀρχικῶς τοῦ Γοργίου, προσελκύεται τελικῶς ἀπὸ τὴν προσωπικότητα τοῦ Σωκράτους καὶ ἐγκαταλείπει τὸν πρῶτο του διδάσκαλο μὲ χλευασμούς. Μετὰ τὸν θάνατον τοῦ Σωκράτους, ἀκολουθεῖ δικό του δρόμο στὴν σκέψιν καὶ στὴν συμπεριφορὰ καὶ ἱδρύει τὴν σχολὴ τῶν Κυνικῶν. Ὁ Ἀντισθένης διδάσκει ὅτι ἡ εὐδαιμονία εὑρίσκεται ἀποκλειστικὰ στὴν ἀρετὴ ὄχι ὡς συνέπεια θεωρητικοῦ στοχασμοῦ, ἀλλὰ ὡς ἔμπρακτη φυσικὴ στάσις «οὔτε λόγων πολλῶν, οὔτε μαθήσεως δεομένη».

Ἀλλὰ οἱ ἄλλοι ἀμελοῦσαν αὐτοῦ τοῦ εἴδους τὰ ἀποκτήματα καὶ κανεὶς δὲν μᾶς ἐφρόντιζε προσδοκώντας νὰ μᾶς κληρονομήσῃ, διότι ὅλοι ἀπέβλεπον εἰς τὸν χρυσόν.

{ΔΙΟΓΕΝΗΣ} *Εἰκότως· οὐ γὰρ εἶχον ἔνθα δέξαιντο τὰ τοιαῦτα παρ᾽ ἡμῶν διερρυηκότες ὑπὸ τρυφῆς, καθάπερ τὰ σαπρὰ τῶν βαλλαντίων· ὥστε εἴ ποτε καὶ ἐμβάλοι τις ἐς αὐτοὺς ἢ σοφίαν ἢ παρρησίαν ἢ ἀλήθειαν, ἐξέπιπτεν εὐθὺς καὶ διέρρει, τοῦ πυθμένος στέγειν οὐ δυναμένου, οἷόν τι πάσχουσιν αἱ τοῦ Δαναοῦ αὗται παρθένοι εἰς τὸν τετρυπημένον πίθον ἐπαντλοῦσαι· τὸ δὲ χρυσίον ὀδοῦσι καὶ ὄνυξι καὶ πάσῃ μηχανῇ ἐφύλαττον.*

Προφανῶς. Ἀφοῦ δὲν εἶχαν ποῦ νὰ βάλουν τὰ σχετικὰ ἀπὸ ἐμᾶς καθὼς τοὺς ξεγλιστροῦν λόγῳ τῆς τρυφῆς, ὅπως ἀκριβῶς τὰ πολὺ φθαρμένα ἀπὸ τὰ βαλλάντια. Ὥστε ἐὰν ποτὲ κάποιος βάλῃ ἐντός τους ἢ σοφία ἢ παρρησία ἢ ἀλήθεια, θὰ [τοῦ] ἔπεφταν ἔξω ἀμέσως καὶ θὰ διέρρεον, μὴ μπορώντας νὰ στεγάσῃ τὸν πυθμένα, ὅπως κάτι τέτοιο παθαίνουν καὶ αὐτὲς οἱ παρθένες τοῦ Δαναοῦ[164], οἱ ὁποῖες ῥίπτουν νερὸ γιὰ νὰ γεμίσουν τὸ τρύπιο πιθάρι. Τὸν χρυσὸν μὲ νύχια καὶ μὲ δόντια καὶ μὲ κάθε τέχνασμα ἐφύλασσον.

{ΚΡΑΤΗΣ} *Οὐκοῦν ἡμεῖς μὲν ἕξομεν κἀνταῦθα τὸν πλοῦτον, οἱ δὲ ὀβολὸν ἥξουσι κομίζοντες καὶ τοῦτον ἄχρι τοῦ πορθμέως.*

Ἐμεῖς λοιπὸν θὰ ἔχουμε καὶ ἐδῶ τὸν πλοῦτον, ἐνῷ αὐτοὶ θὰ ἔλθουν κομίζοντας ὀβολόν, καὶ αὐτὸν μέχρι τὸν πορθμέα.



164 Οἱ Δαναΐδες ἦσαν οἱ πενήντα κόρες τοῦ Δαναοῦ. Ὁ Δαναὸς ἐζοῦσε στὴν Λιβύη, ἐνῷ στὴν Αἴγυπτο κατοικοῦσε ὁ ἀδελφός του Αἴγυπτος μὲ τοὺς πενήντα υἱούς του. Ἐπειδὴ ὁ Δαναὸς ἐφοβεῖτο ὅτι ὁ Αἴγυπτος καὶ οἱ υἱοὶ του θέλουν νὰ τοῦ πάρουν τὴν χώρα κατεσκεύασε ἕνα πλοῖον, τὸ ὁποῖον ἦτο ἡ πρώτη πεντηκόντορος καὶ κατεσκευάσθη τῇ ὑποδείξει τῆς θεᾶς Ἀθηνᾶς. Στὰ 50 κουπιὰ της ἐκάθισαν οἱ 50 Δαναΐδες καὶ κατέφυγον στὸ Ἄργος. Ἀργότερα, οἱ υἱοὶ τοῦ Αἰγύπτου, θέλοντας νὰ σταματήσουν τὴν ἔχθρα ἡ ὁποία ὑπῆρχε ἀνάμεσά τους, ἐζήτησαν τὶς κόρες τοῦ Δαναοῦ σὲ γάμο. Αὐτὲς ὅμως, κατ᾽ ἐντολὴν τοῦ πατρός τους, τὴν πρώτη νύκτα τοῦ γάμου τους ἐφόνευσαν τοὺς συζύγους τους, ἐκτὸς ἀπὸ μία, ἡ ὁποία ἄφησε τὸν σύζυγό της Λυγκέα νὰ ζήσῃ. Οἱ φόνισσες ἔφεραν τὸ μίασμα καὶ στὸν Κάτω Κόσμο, ὅπου κατεδικάσθησαν νὰ προσπαθοῦν αἰωνίως νὰ γεμίσουν μὲ νερὸ ἕνα τρύπιο πιθάρι (τὸν «πίθο» τῶν Δαναΐδων).

ΔΙΟΓΕΝΟΥΣ ΚΑΙ ΑΝΤΙΣΘΕΝΟΥΣ ΚΑΙ ΚΡΑΤΗΤΟΣ

{ΔΙΟΓΕΝΗΣ} *Ἀντίσθενες καὶ Κράτης, σχολὴν ἄγομεν· ὥστε τί οὐκ ἄπιμεν εὐθὺ τῆς καθόδου περιπατήσοντες, ὀψόμενοι τοὺς κατιόντας οἷοί τινές εἰσι καὶ τί ἕκαστος αὐτῶν ποιεῖ;*

Ἀντισθένη καὶ Κράτη, ἔχουμε καιρὸ στὴν διάθεσίν μας, ὥστε γιατί δὲν πᾶμε κατ' εὐθεῖαν να περπατήσουμε τὴν κάθοδον, νὰ δοῦμε αὐτοὺς οἱ ὁποῖοι κατεβαίνουν, τί λογῆς εἶναι καὶ τί κάνει κάθε ἕνας ἀπὸ αὐτούς;

{ΑΝΤΙΣΘΕΝΗΣ} *Ἀπίωμεν, ὦ Διόγενες· καὶ γὰρ ἂν ἡδὺ τὸ θέαμα γένοιτο, τοὺς μὲν δακρύοντας αὐτῶν ὁρᾶν, τοὺς δὲ ἱκετεύοντας ἀφεθῆναι. ἐνίους δὲ μόλις κατιόντας καὶ ἐπὶ τράχηλον ὠθοῦντος τοῦ Ἑρμοῦ ὅμως ἀντιβαίνοντας καὶ ὑπτίους ἀντερείδοντας οὐδὲν δέον.*

Ἂς πᾶμε, Διογένη. Διότι θὰ εἶναι ἴσως γλυκὸ τὸ θέαμα, νὰ βλέπουμε τοὺς μὲν ἐξ αὐτῶν νὰ δακρύζουν, τοὺς δὲ νὰ ἱκετεύουν νὰ ἀφεθοῦν. Ὁρισμένους δὲ μὲ δυσκολία νὰ κατεβαίνουν καὶ νὰ ἐναντιώνωνται παρ' ὅλον ὅτι ὁ Ἑρμῆς τοὺς σπρώχνει ἀπὸ τὸν τράχηλο, καὶ νὰ πέφτουν ἀνάσκελα γιὰ νὰ ἀντισταθοῦν ἐνῷ δὲν χρειάζεται.

{ΚΡΑΤΗΣ} *Ἔγωγ' οὖν καὶ διηγήσομαι ὑμῖν ἃ εἶδον ὁπότε κατῄειν κατὰ τὴν ὁδόν.*

Ἐγὼ βεβαίως θὰ σᾶς διηγηθῶ αὐτὰ τὰ ὁποῖα εἶδα ὅταν κατερχόμουν ἀπὸ τὴν ὁδόν.

{ΔΙΟΓΕΝΗΣ} *Διήγησαι, ὦ Κράτης· ἔοικας γάρ τινα ἑωρακέναι παγγέλοια.*

Διηγήσου, Κράτη. Διότι φαίνεσαι ὅτι ἔχεις δεῖ [πράγματα] ἐντελῶς γελοῖα.

{ΚΡΑΤΗΣ} *Καὶ ἄλλοι μὲν πολλοὶ συγκατέβαινον ἡμῖν, ἐν αὐτοῖς δὲ ἐπίσημοι Ἰσμηνόδωρός τε ὁ πλούσιος ὁ ἡμέτερος καὶ Ἀρσάκης ὁ Μηδίας ὕπαρχος καὶ Ὀροίτης ὁ Ἀρμένιος. ὁ μὲν οὖν Ἰσμηνόδωρος -ἐπεφόνευτο γὰρ ὑπὸ τῶν λῃστῶν ὑπὸ τὸν Κιθαιρῶνα Ἐλευσῖνάδε οἶμαι βαδίζων- ἔστενε καὶ τὸ τραῦμα ἐν ταῖν χεροῖν εἶχε καὶ τὰ παιδία, ἃ νεογνὰ κατελελοίπει, ἀνεκαλεῖτο καὶ ἑαυτῷ ἐπεμέμφετο τῆς τόλμης, ὃς Κιθαιρῶνα ὑπερβάλλων καὶ τὰ περὶ τὰς Ἐλευθερὰς χωρία πανέρημα ὄντα ὑπὸ τῶν πολέμων διοδεύων δύο μόνους οἰκέτας ἐπηγάγετο, καὶ ταῦτα φιάλας πέντε χρυσᾶς καὶ κυμβία τέτταρα μεθ' ἑαυτοῦ κομίζων. ὁ δὲ Ἀρσάκης -γηραιὸς ἤδη καὶ νὴ Δί' οὐκ ἄσεμνος τὴν ὄψιν- εἰς τὸ βαρβαρικὸν ἤχθετο καὶ ἠγανάκτει πεζὸς βαδίζων καὶ ἠξίου τὸν*

ἵππον αὐτῷ προσαχθῆναι· καὶ γὰρ καὶ ὁ ἵππος αὐτῷ συνετεθνήκει, μιᾷ πληγῇ ἀμφότεροι διαπαρέντες ὑπὸ Θρᾳκός τινος πελταστοῦ ἐν τῇ ἐπὶ τῷ Ἀράξῃ πρὸς τὸν Καππαδόκην συμπλοκῇ. ὁ μὲν γὰρ Ἀρσάκης ἐπήλαυνεν, ὡς διηγεῖτο, πολὺ τῶν ἄλλων προεξορμήσας, ὑποστὰς δὲ ὁ Θρᾷξ τῇ πέλτῃ μὲν ὑποδὺς ἀποσείεται τοῦ Ἀρσάκου τὸν κοντόν, ὑποθεὶς δὲ τὴν σάρισαν αὐτόν τε διαπείρει καὶ τὸν ἵππον.

Καὶ ἄλλοι πολλοὶ κατέβαιναν μὲ εμᾶς, μέσα δὲ σὲ αὐτοὺς διακεκριμένοι [ἄνδρες], ὁ δικός μας ὁ Ἰσμηνόδωρος ὁ πλούσιος καὶ ὁ Ἀρσάκης, ὁ ὕπαρχος τῆς Μηδίας καὶ ὁ Ἀρμένιος τῆς Ὀροίτης. Ὁ μὲν Ἰσμηνόδωρος λοιπὸν -ἐπειδὴ εἶχε φονευθῇ ἀπὸ τοὺς λῃστὲς κάτω ἀπὸ τὸν Κιθαιρῶνα[165] ἐνῷ ἐβάδιζε, νομίζω, πρὸς Ἐλευσῖνα- ἀναστέναζε καὶ κρατοῦσε τὸ τραῦμα στὰ δυό του χέρια καὶ θρηνοῦσε γιὰ τὰ παιδιά, τὰ ὁποῖα εἶχε ἀφήσει νεογνά, καὶ κατηγοροῦσε τὸν ἑαυτόν του γιὰ τὴν τόλμη του, ὁ ὁποῖος διερχόμενος τὸν Κιθαιρῶνα, ἐπέρασε μέσα ἀπὸ τὰ χωριὰ γύρω ἀπὸ τὶς Ἐλευθερές[166], τὰ ὁποῖα εἶναι πανέρημα ἀπὸ τοὺς πολέμους, συνοδευόμενος μόνον ἀπὸ δύο ὑπηρέτες, καὶ μάλιστα ἐνῷ ἐκόμιζε μαζί του πέντε χρυσὲς κοῦπες καὶ τέσσερα ποτήρια. Ὁ δὲ Ἀρσάκης, γέρος ἤδη καὶ μὰ τὸν Δία σεβάσμιος εἰς τὴν ὄψιν, δυσαρεστεῖτο σύμφωνα μὲ τὸν βαρβαρικὸ τρόπο σκέψεως καὶ ἀγανακτοῦσε καθὼς ἐβάδιζε πεζὸς καὶ εἶχε τὴν ἀξίωσιν νὰ τοῦ φέρουν τὸν ἵππο. Διότι καὶ ὁ ἵππος ἔθανε μαζὶ μὲ αὐτόν, διαπερασμένοι καὶ οἱ δύο μὲ ἕνα κτύπημα ἀπὸ κάποιον Θρᾷκα πελταστή[167], στὶς ὄχθες τοῦ Ἀράξου [ποταμοῦ][168], στὴν συμπλοκὴ μὲ τὸν Καππαδόκη. Διότι ὁ μὲν Ἀρσάκης ἐπήλαυνε, ὅπως διηγεῖτο, ἔχοντας ἐξορμήσει περισσότερο ἀπὸ τοὺς ἄλλους, ἐνῷ ὁ Θρᾷξ ἀφοῦ ἐστάθη καλυμμένος ἀπὸ τὴν ἀσπίδα καὶ

---

[165] Ὁ Κιθαιρὼν εἶναι πευκόφυτος ὀρεινὸς ὄγκος μεταξὺ τοῦ ὄρους Πατέρα, τῶν Γερανείων ὀρέων καὶ τῆς Πάρνηθος. Εὑρίσκεται στὰ σύνορα Ἀττικῆς καὶ Βοιωτίας, μεταξὺ τῶν ὀρεινῶν κοινοτήτων τῶν δύο νομῶν. Στὶς ῥάχες τοῦ ὄρους εὑρίσκεται ἡ Οἰνόη Ἀττικῆς. Ἡ ὀνομασία του προέρχεται ἀπὸ τὸν βασιλέα τῶν Πλαταιῶν.

[166] Αἱ Ἐλευθεραὶ ἦσαν πόλις τῆς Βοιωτίας στὰ νότια τοῦ Κιθαιρῶνος.

[167] Οἱ Πελτασταί: Σώματα ἐλαφρὰ ὁπλισμένων στρατιωτῶν ποὺ κρατοῦσαν πέλτη (μικρὴ ἀσπίδα) μὲ σχῆμα μηνοειδές, καθὼς καὶ ἀκόντιον, ἐνῷ σύμφωνα μὲ τὸν Ἡρόδοτο φοροῦσαν κράνος καὶ ἔφεραν ἐπίσης ἕνα ἢ δύο μαχαίρια. Ἀρχικῶς ἦσαν Θράκες μισθοφόροι καὶ κατεῖχαν θέσι μεταξὺ τῶν ὁπλιτῶν καὶ τῶν ψιλῶν, ἐνῷ συχνὰ ἀναφέρονται καὶ κοντὰ στοὺς τοξότες. Ὑπὸ τὸν Ἀθηναῖο στρατηγὸ Ἰφικράτη ἀνεδείχθησαν σὲ στρατιωτικὴ δύναμιν ἀποφασιστικῆς σημασίας, ὕστερα ὅμως ἀπὸ τὴν ἄνοδο καὶ τὶς κατακτήσεις τοῦ μακεδονικοῦ στρατιωτικοῦ συστήματος τῆς φάλαγγος ἔτεθησαν σὲ ἀχρηστία.

[168] Ὁ ποταμὸς Ἀράξης (σημερινὸς Ἀράς), ἕνας ἀπὸ τοὺς μεγαλυτέρους ποταμοὺς τοῦ Καυκάσου.

προτάσσοντάς την, ἀπέκρουσε τὸ δόρυ τοῦ Ἀρσάκου καὶ καθὼς προέτεινε ἀπὸ κάτω τὴν σάρισα, διαπερνᾷ αὐτὸν καὶ τὸν ἵππον.

{ΑΝΤΙΣΘΕΝΗΣ} *Πῶς οἷόν τε, ὦ Κράτης, μιᾷ πληγῇ τοῦτο γενέσθαι;*

Πῶς εἶναι δυνατόν, Κράτη, μὲ ἕνα κτύπημα νὰ γίνῃ τοῦτο;

{ΚΡΑΤΗΣ} *Ῥᾷστ', ὦ Ἀντισθένες· ὁ μὲν γὰρ ἐπήλαυνεν εἰκοσάπηχύν τινα κοντὸν προβεβλημένος, ὁ Θρᾷξ δ' ἐπειδὴ τῇ πέλτῃ παρεκρούσατο τὴν προσβολὴν καὶ παρῆλθεν αὐτὸν ἡ ἀκωκή, ἐς τὸ γόνυ ὀκλάσας δέχεται τῇ σαρίσῃ τὴν ἐπέλασιν καὶ τιτρώσκει τὸν ἵππον ὑπὸ τὸ στέρνον ὑπὸ θυμοῦ καὶ σφοδρότητος ἑαυτὸν διαπείραντα· διελαύνεται δὲ καὶ ὁ Ἀρσάκης ἐκ τοῦ βουβῶνος διαμπὰξ ἄχρι ὑπὸ τὴν πυγήν. ὁρᾷς οἷόν τι ἐγένετο, οὐ τοῦ ἀνδρός, ἀλλὰ τοῦ ἵππου μᾶλλον τὸ ἔργον. ἠγανάκτει δ' ὅμως ὁμότιμος ὢν τοῖς ἄλλοις καὶ ἠξίου ἱππεὺς κατιέναι. ὁ δέ γε Ὀροίτης καὶ πάνυ ἁπαλὸς ἦν τὼ πόδε καὶ οὐδ' ἑστάναι χαμαί, οὐχ ὅπως βαδίζειν ἐδύνατο· πάσχουσι δ' αὐτὸ ἀτεχνῶς Μῆδοι πάντες, ἢν ἀποβῶσι τῶν ἵππων· ὥσπερ οἱ ἐπὶ τῶν ἀκανθῶν ἀκροποδητὶ μόλις βαδίζουσιν. ὥστε ἐπεὶ καταβαλὼν ἑαυτὸν ἔκειτο καὶ οὐδεμιᾷ μηχανῇ ἀνίστασθαι ἤθελεν, ὁ βέλτιστος Ἑρμῆς ἀράμενος αὐτὸν ἐκόμισεν ἄχρι πρὸς τὸ πορθμεῖον, ἐγὼ δὲ ἐγέλων.*

Εὐκόλως, Ἀντισθένη. Ὁ μὲν ἐπήλαυνε προτείνοντας δόρυ εἴκοσι πήχεων, ἐνῷ ὁ Θρᾷξ ἀφοῦ ἀπέκρουσε τὸ κτύπημα μὲ τὴν ἀσπίδα καὶ ἐπέρασε ἀπὸ δίπλα του ἡ αἰχμή, λυγίζοντας τὸ γόνατο, ἀποκρούει τὴν ἐπέλασιν καὶ πληγώνει μὲ τὴν σάρισα τὸν ἵππο κάτω ἀπὸ τὸ στέρνο, διαπερνώντας τον λόγῳ τῆς ὁρμῆς καὶ τῆς σφοδρότητός [του]. Διαπερνᾶται δὲ καὶ ὁ Ἀρσάκης πέρα ὡς πέρα, ἀπὸ τὸ κάτω ὑπογάστριο μέχρι τοὺς γλουτούς. Βλέπεις πῶς ἔγινε, ὄχι τοῦ ἀνδρός, ἀλλὰ τοῦ ἵππου περισσότερο ἦτο τὸ ἔργον. Ἀγανακτοῦσε ὅμως ὄντας ἰσότιμος μὲ τοὺς ἄλλους καὶ εἶχε τὴν ἀξίωσιν νὰ κατεβῇ ὡς ἱππεύς. Αὐτὸς δὲ τῆς Ὀροίτης ἦτο πάρα πολὺ ἁπαλὸς στὰ δύο πόδια καὶ οὔτε νὰ σταθῇ στὸ ἔδαφος μποροῦσε, πόσο μᾶλλον νὰ βαδίζῃ. Πάσχουν ἀπὸ αὐτὸ ὅλοι σχεδὸν οἱ Μῆδοι, ἐὰν κατεβοῦν ἀπὸ τοὺς ἵππους. Βαδίζουν μὲ δυσκολία, ὅπως ἀκριβῶς αὐτοὶ οἱ ὁποῖοι [περπατοῦν] ἐπάνω σὲ ἀγκάθια, στὶς ἄκρες τῶν ποδιῶν τους. Ὥστε, ἀφοῦ ἔρριψε κάτω τὸν ἑαυτόν του, ἐξάπλωσε, καὶ μὲ κανένα τέχνασμα δὲν ἤθελε νὰ σηκωθῇ. Ὁ ἀγαπητὸς Ἑρμῆς, σηκώνοντάς τον, τὸν ἔφερε μέχρι τὸ πορθμεῖον, ἐνῷ ἐγὼ γελοῦσα.

{ΑΝΤΙΣΘΕΝΗΣ} *Κἀγὼ δὲ ὁπότε κατῄειν, οὐδ' ἀνέμιξα ἐμαυτὸν τοῖς ἄλλοις, ἀλλ' ἀφεὶς οἰμώζοντας αὐτοὺς προδραμὼν ἐπὶ τὸ πορθμεῖον προκατέλαβον χώραν, ὡς ἂν ἐπιτηδείως πλεύσαιμι· καὶ παρὰ τὸν πλοῦν οἱ μὲν ἐδάκρυόν τε καὶ ἐναυτίων, ἐγὼ δὲ μάλα ἐτερπόμην ἐπ' αὐτοῖς.*

Καὶ ἐγὼ ὅταν κατέβαινα, δὲν ἀνέμιξα τὸν ἑαυτόν μου μὲ τοὺς ἄλλους, ἀλλὰ ἀφοῦ τοὺς ἄφησα νὰ θρηνοῦν φωνάζοντας καὶ προέτρεξα στὸ πλοιάριον, προκατέλαβα θέσιν, ὥστε νὰ μποροῦσα νὰ πλεύσω ἄνετα. Καὶ κατὰ τὸν πλοῦν οἱ μὲν ἐδάκρυζον καὶ ἔπασχον ἀπὸ ναυτία, ἐνῷ ἐγὼ εὐχαριστούμην πάρα πολὺ μὲ αὐτούς.

{ΔΙΟΓΕΝΗΣ} *Σὺ μέν, ὦ Κράτης καὶ Ἀντίσθενες, τοιούτων ἐτύχετε τῶν ξυνοδοιπόρων, ἐμοὶ δὲ Βλεψίας τε ὁ δανειστικὸς ὁ ἐκ Πειραιῶς καὶ Λάμπις ὁ Ἀκαρνὰν ξεναγὸς ὢν καὶ Δᾶμις ὁ πλούσιος ὁ ἐκ Κορίνθου συγκατῄεσαν, ὁ μὲν Δᾶμις ὑπὸ τοῦ παιδὸς ἐκ φαρμάκων ἀποθανών, ὁ δὲ Λάμπις δι' ἔρωτα Μυρτίου τῆς ἑταίρας ἀποσφάξας ἑαυτόν, ὁ δὲ Βλεψίας λιμῷ ἄθλιος ἐλέγετο ἀπεσκληκέναι καὶ ἐδήλου δὲ ὠχρὸς εἰς ὑπερβολὴν καὶ λεπτὸς εἰς τὸ ἀκριβέστατον φαινόμενος. ἐγὼ δέ, καίπερ εἰδώς, ἀνέκρινον, ὃν τρόπον ἀποθάνοιεν. εἶτα τῷ μὲν Δάμιδι αἰτιωμένῳ τὸν υἱόν, Οὐκ ἄδικα μέντοι ἔπαθες, ἔφην, ὑπ' αὐτοῦ, εἰ τάλαντα ἔχων ὁμοῦ χίλια καὶ τρυφῶν αὐτὸς ἐνενηκοντούτης ὢν ὀκτωκαιδεκαέτει νεανίσκῳ τέτταρας ὀβολοὺς παρεῖχες. σὺ δέ, ὦ Ἀκαρνάν, -ἔστενε γὰρ κἀκεῖνος καὶ κατηρᾶτο τῇ Μυρτίῳ- τί αἰτιᾷ τὸν Ἔρωτα, σεαυτὸν δέον, ὃς τοὺς μὲν πολεμίους οὐδεπώποτε ἔτρεσας, ἀλλὰ φιλοκινδύνως ἠγωνίζου πρὸ τῶν ἄλλων, ἀπὸ δὲ τοῦ τυχόντος παιδισκαρίου καὶ δακρύων ἐπιπλάστων καὶ στεναγμῶν ἑάλως ὁ γενναῖος; ὁ μὲν γὰρ Βλεψίας αὐτὸς ἑαυτοῦ κατηγόρει φθάσας πολλὴν τὴν ἄνοιαν, ὡς τὰ χρήματα ἐφύλαττεν τοῖς οὐδὲν προσήκουσιν κληρονόμοις, εἰς ἀεὶ βιώσεσθαι ὁ μάταιος νομίζων. πλὴν ἔμοιγε οὐ τὴν τυχοῦσαν τερπωλὴν παρέσχον τότε στένοντες. ἀλλ' ἤδη μὲν ἐπὶ τῷ στομίῳ ἐσμέν, ἀποβλέπειν δὲ χρὴ καὶ ἀποσκοπεῖν πόρρωθεν τοὺς ἀφικνουμένους. βαβαί, πολλοί γε καὶ ποικίλοι καὶ πάντες δακρύοντες πλὴν τῶν νεογνῶν τούτων καὶ νηπίων. ἀλλὰ καὶ οἱ πάνυ γέροντες ὀδύρονται. τί τοῦτο; ἆρα τὸ φίλτρον αὐτοὺς ἔχει τοῦ βίου; τοῦτον οὖν τὸν ὑπέργηρων ἐρέσθαι βούλομαι. τί δακρύεις τηλικοῦτος ἀποθανών; τί ἀγανακτεῖς, ὦ βέλτιστε, καὶ ταῦτα γέρων ἀφιγμένος; ἦ που βασιλεύς τις ἦσθα;*

Ἐσὺ μέν, Κράτη καὶ Ἀντισθένη, τύχατε τέτοιων συνοδοιπόρων, μαζὶ μὲ ἐμένα δέ, κατέβαιναν ὁ Βλεψίας ὁ τοκογλύφος ἀπὸ τὸν Πειραιᾶ, ὁ Λάμπις ὁ Ἀκαρνάν, ὁ ὁποῖος ἦτο ἀρχηγὸς ξένων μισθοφόρων, καὶ ὁ Δᾶμις ὁ πλούσιος ἀπὸ τὴν Κόρινθο, ὁ μὲν Δᾶμις πέθανε δηλητηριασμένος ἀπὸ τὸ παιδί του, ὁ δὲ Λάμπις μαχαίρωσε τὸν ἑαυτόν του ἐξ αἰτίας τοῦ ἔρωτός του γιὰ τὴν ἑταίρα Μύρτιον, ὁ δὲ κακομοίρης Βλεψίας ἐλέγετο ὅτι εἶχε καταξεραθῇ ἀπὸ λιμὸ καὶ αὐτὸ ἐφαίνετο, καθὼς ἦτο ὑπερβολικὰ ὠχρὸς καὶ πάρα πολὺ λεπτός. Ἐγὼ μολονότι ἐγνώριζα, ἐρωτοῦσα μὲ ποιόν τυχὸν τρόπο πέθαναν. Ἔπειτα εἶπα στὸν Δᾶμιν, ὁ ὁποῖος κατηγοροῦσε τὸν υἱό του: «Δὲν ἔπαθες, πράγματι, ἄδικα ἀπό αὐτόν, ἐὰν ἔχοντας συνολικὰ χίλια τάλαντα καὶ ἐνῷ ζοῦσες ὁ ἴδιος μέσα στὴν τρυφὴ ὄντας ἐνενήντα ἐτῶν, ἔδιδες σὲ δεκαοκτάρη νεαρὸ τέσσερις ὀβολούς! Ἐνῷ ἐσύ, Ἀκαρνάν,» -διότι ἐστέναζε καὶ ἐκεῖνος καὶ καταριόταν τὴν Μύρτιον- «γιατί κατηγορεῖς τὸν ἔρωτα ἐνῷ πρέπει τὸν ἑαυτόν σου, ὁ ὁποῖος μὲν οὐδέποτε ἐφοβήθης τοὺς ἐχθρούς, ἀλλὰ παράτολμα ἀγωνιζόσουν μπροστὰ ἀπὸ τοὺς ἄλλους, ὅμως ἁλώθηκες, ὁ γενναῖος, ἀπὸ τυχάρπαστο κοριτσόπουλο καὶ ἀπὸ ἐπίπλαστα δάκρυα καὶ στεναγμούς;» Ὁ μὲν Βλεψίας κατηγοροῦσε ὁ ἴδιος τὸν ἑαυτόν του γιὰ τὴν ὑπερβολικὴ ἀνοησία του, ὅτι ἐφύλασσε τὰ χρήματα γιὰ ἀσχέτους κληρονόμους, νομίζοντας ὁ μάταιος ὅτι θὰ ζοῦσε γιὰ πάντα. Πλὴν ὅμως τότε μοῦ παρεῖχαν ἐξαιρετικὴ τέρψιν καθὼς ἐστέναζον. Ἐφθάσαμε ὅμως ἤδη εἰς τὸ στόμιον καὶ πρέπει νὰ παρατηροῦμε καὶ νὰ ἐξετάζουμε ἀπὸ μακριὰ τοὺς ἀφικνουμένους. Ἀλλοίμονον! [Εἶναι] πολλοὶ καὶ πολλῶν εἰδῶν καὶ ὅλοι δακρύζουν, πλὴν τούτων τῶν νεογνῶν καὶ τῶν νηπίων. Ἀλλὰ καὶ οἱ πολὺ γέροντες ὀδύρονται. Γιατί αὐτό; Ἆραγε τὸ μαγικὸ φίλτρο τοῦ βίου τοὺς κατέχει; Αὐτὸν λοιπὸν τὸν ὑπέργηρο θέλω νὰ ἐρωτήσω. Γιατί δακρύζεις ἐνῷ ἔχεις πεθάνει σὲ τέτοια ἡλικία; Γιατί ἀγανακτεῖς, φίλε μου, καὶ ὅλα αὐτὰ ἐνῷ ἔχεις ἀφιχθῇ γέρων; Μήπως κάπου ἤσουν κάποιος βασιλεύς;

{ΠΤΩΧΟΣ} *Οὐδαμῶς.*

Οὔτε κἄν!

{ΔΙΟΓΕΝΗΣ} *Ἀλλὰ σατράπης τις;*

Μήπως κάποιος σατράπης;

{ΠΤΩΧΟΣ} *Οὐδὲ τοῦτο.*

Οὔτε τοῦτο.

{ΔΙΟΓΕΝΗΣ} *Ἄρα οὖν ἐπλούτεις, εἶτα ἀνιᾷ σε τὸ πολλὴν τρυφὴν ἀπολιπόντα τεθνάναι;*

Ἆραγε λοιπὸν ἐπλούτιζες, συνεπῶς σὲ στενοχωρεῖ τὸ ὅτι πέθανες ἀφήνοντας μεγάλη τρυφή;

{ΠΤΩΧΟΣ} *Οὐδὲν τοιοῦτο, ἀλλ' ἔτη μὲν ἐγεγόνειν ἀμφὶ τὰ ἐνενήκοντα, βίον δὲ ἄπορον ἀπὸ καλάμου καὶ ὁρμιᾶς εἶχον εἰς ὑπερβολὴν πτωχὸς ὢν ἄτεκνός τε καὶ προσέτι χωλὸς καὶ ἀμυδρὸν βλέπων.*

Οὔτε κάτι τέτοιο, ἀλλὰ [ὡς πρὸς] τὰ ἔτη ἤμουν γύρω στὰ ἐνηνήντα, ἔχοντας βίον ἄπορον ἀπὸ καλάμι καὶ πετονιές, ὄντας ὑπερβολικὰ πτωχὸς καὶ ἄτεκνος καὶ κουτσὸς ἐπὶ πλέον καὶ βλέποντας ἀμυδρά.

{ΔΙΟΓΕΝΗΣ} *Εἶτα τοιοῦτος ὢν ζῆν ἤθελες;*

Ἔπειτα, ὄντας τέτοιος, ἤθελες νὰ ζῇς;

{ΠΤΩΧΟΣ} *Ναί· ἡδὺ γὰρ ἦν τὸ φῶς καὶ τὸ τεθνάναι δεινὸν καὶ φευκτέον.*

Ναί. Διότι ἦτο γλυκὸ τὸ φῶς καὶ τὸ νὰ πεθάνῃς φοβερὸν καὶ ἄξιον νὰ ἀποφευχθῇ[169].

{ΔΙΟΓΕΝΗΣ} *Παραπαίεις, ὦ γέρον, καὶ μειρακιεύῃ πρὸς τὸ χρεών, καὶ ταῦτα ἡλικιώτης ὢν τοῦ πορθμέως. τί οὖν ἄν τις ἔτι λέγοι περὶ τῶν νέων, ὁπότε οἱ τηλικοῦτοι φιλόζωοί εἰσιν, οὓς ἐχρῆν διώκειν τὸν θάνατον ὡς τῶν ἐν τῷ γήρᾳ κακῶν φάρμακον. ἀλλ' ἀπίωμεν ἤδη, μὴ καί τις ἡμᾶς ὑπίδηται ὡς ἀπόδρασιν βουλεύοντας, ὁρῶν περὶ τὸ στόμιον εἰλουμένους.*

Παραπαίεις, γέροντα, καὶ παιδιαρίζεις περισσότερο ἀπ' ὅσο πρέπει, καὶ αὐτὰ ὄντας συνομήλικος τοῦ πορθμέως. Τί ἀκόμα θὰ μποροῦσε κάποιος νὰ πῇ περὶ τῶν νέων, ὅταν οἱ τέτοιας ἡλικίας ἀγαποῦν τὴν ζωή, οἱ ὁποῖοι ἔπρεπε νὰ ἐπιζητοῦν τὸν θάνατον ὡς φάρμακον στὰ κακά τοῦ γήρατος; Ἀλλὰ ἂς φύγουμε τώρα, μὴ καὶ κάποιος μᾶς ὑποψιασθῇ ὅτι σχεδιάζουμε νὰ ἀποδράσουμε, καθὼς μας βλέπει μαζεμένους γύρω ἀπὸ τὸ στόμιον.

---

[169] Στοὺς στίχους τῶν δημοτικῶν μας τραγουδιῶν ἐκφράζεται ἡ λατρεία καὶ τὸ πάθος τοῦ ἀνθρώπου γιὰ τὴν ζωὴ καὶ τὴν φύσιν: «Σκάψτε τὸ μνῆμα μου βαθιά, πλατὺ γιὰ δυὸ νομάτους, καὶ στὴν δεξιά του τὴν μεριὰ ν' ἀφῆστε παραθύρι, νὰ μπαίνῃ ὁ ἥλιος τὸ πρωί, δροσιὰ τὸ μεσημέρι, νὰ μπαινοβγαίνουν τὰ πουλιά, τῆς ἄνοιξης τ' ἀηδόνια» (Ἀπὸ τὸ βιβλίο τοῦ Δημητρίου Κολέτσου, Τῆς βρύσης ὁ ἀνήφορος - Τὰ δημοτικὰ τραγούδια στὸ χωριό μου, ἐκδ. Δεδεμάδη, Ἀθῆναι 2006, σελ. 90).

ΑΙΑΝΤΟΣ ΚΑΙ ΑΓΑΜΕΜΝΟΝΟΣ

{ΑΓΑΜΕΜΝΩΝ} *Εἰ σὺ μανείς, ὦ Αἶαν, σεαυτὸν ἐφόνευσας, ἐμέλλησας δὲ καὶ ἡμᾶς ἅπαντας, τί αἰτιᾷ τὸν Ὀδυσσέα καὶ πρῴην οὔτε προσέβλεψας αὐτόν, ὁπότε ἧκεν μαντευσόμενος, οὔτε προσειπεῖν ἠξίωσας ἄνδρα συστρατιώτην καὶ ἑταῖρον, ἀλλ᾽ ὑπεροπτικῶς μεγάλα βαίνων παρῆλθες;*

Ἐὰν ἐσύ, Αἶα, τρελλαμένος ἐφόνευσες τὸν ἑαυτόν σου[170], εἶχες δὲ σκοπὸ [νὰ φονεύσῃς] καὶ ὅλους ἐμᾶς, γιατί κατηγορεῖς τὸν Ὀδυσσέα καὶ προχθὲς οὔτε ποὺ τοῦ ἔρριψες ἕνα βλέμμα, ὅταν ἦλθε νὰ λάβῃ χρησμό[171], οὔτε κατεδέχθης νὰ ὁμιλήσῃς μὲ ἄνδρα συστρατιώτη καὶ φίλο, ἀλλὰ ὑπεροπτικῶς, προχωρώντας μὲ μεγάλα βήματα, ἀπεχώρησες;

{ΑΙΑΣ} *Εἰκότως, ὦ Ἀγάμεμνον· αὐτὸς γοῦν μοι τῆς μανίας αἴτιος κατέστη μόνος ἀντεξετασθεὶς ἐπὶ τοῖς ὅπλοις.*

Εὐλόγως, Ἀγαμέμνων. Διότι αὐτὸς φυσικὰ μοῦ κατέστη ὑπαίτιος τῆς τρέλλας, ὁ μόνος ὁ ὁποῖος ἀνεμετρήθη γιὰ τὰ ὅπλα.

---

170 Μετὰ τὸν θάνατον τοῦ Ἀχιλλέως ἡ Θέτις διωργάνωσε ἀθλητικὸ ἀγῶνα μὲ ἔπαθλο τὰ ὅπλα του, τὰ ὁποῖα θὰ τὰ ἐκέρδιζε ὁ ἄριστος ἐκ τῶν Ἀχαιῶν. Διεκδικοῦν τὰ ὅπλα ὁ Αἴας ὁ Τελαμώνιος, ὡς ἐξάδελφος τοῦ Ἀχιλλέως καὶ δεύτερος σὲ ἀνδρεία μετὰ ἀπὸ αὐτόν, καὶ ὁ Ὀδυσσεύς, ὁ ὁποῖος πολλὲς φορὲς ἔσωσε τοὺς Ἀχαιοὺς μὲ τὴν πονηριά του. Ἡ τελικὴ ἀπόφασις εἶναι ὑπὲρ τοῦ Ὀδυσσέως. Ἐξωργισμένος ὁ Αἴας μὲ τὸ γεγονὸς αὐτό, ἀπεφάσισε νὰ φονεύσῃ ὅλους τοὺς στρατηγοὺς τῶν Ἀχαιῶν. Ἀλλὰ ἡ Ἀθηνᾶ, ἀφοῦ τοῦ ἐσκότισε τὸ μυαλό, τὸν ἔκανε νὰ νομίζῃ ὅτι τοὺς φονεύει ἐνῷ στὴν πραγματικότητα ὥρμησε ἐναντίον τῶν προβάτων τῶν Ἀχαιῶν καὶ τὰ ἔσφαξε. Ὅταν συνῆλθε, αἰσθάνθηκε τόση ντροπὴ καὶ ἀπελπισία, ὥστε ρίχτηκε ἐπάνω στὸ ξίφος του καὶ αὐτοκτόνησε. Οἱ Ἕλληνες πάντως, ὄχι μόνον δὲν εἶχαν σὲ ὑπόληψιν, ἀλλὰ ἀπεχθάνοντο τὴν αὐτοκτονία θεωρώντας την ὡς πρᾶξιν ἀνανδρίας ἢ παράνοιας. Σχετικῶς ὁ Ἀριστοτέλης σχολιάζει (Ἠθικὰ Νικομάχεια 1116a,12): «Τὸ δ᾽ ἀποθνήσκειν φεύγοντα πενίαν ἢ ἔρωτα ἤ τι λυπηρὸν οὐκ ἀνδρείου, ἀλλὰ μᾶλλον δειλοῦ. μαλακία γὰρ τὸ φεύγειν τὰ ἐπίπονα» (Τὸ νὰ πεθαίνῃ [κάποιος] ἀποφεύγοντας τὴν πενία ἢ τὸν ἔρωτα ἢ κάτι λυπηρό, δὲν [εἶναι στοιχεῖον ἀνθρώπου] ἀνδρείου, ἀλλὰ μᾶλλον δειλοῦ. Διότι [εἶναι] μαλακία τὸ νὰ ἀποφεύγῃς τὰ ἐπίπονα).

171 Ἀπὸ τὴν πίστιν στὴν ἀθανασία τῆς ψυχῆς καὶ ὅτι εἶναι δυνατὸν ὁ νεκρὸς νὰ βοηθήσῃ τοὺς ζωντανοὺς σὲ δύσκολες περιστάσεις, ἐγεννήθη ἡ ἀνάγκη τῶν ζωντανῶν γιὰ ἐπικοινωνία μὲ τοὺς νεκρούς. Στὴν ραψῳδία λ τῆς Ὀδυσσείας ὁ Ὅμηρος περιγράφει ἐκτενέστατα τὸν τρόπο μὲ τὸν ὁποῖον ὁ Ὀδυσσεὺς κατώρθωσε νὰ ἐπικοινωνήσῃ μὲ τὶς σκιὲς τῶν νεκρῶν καὶ κυρίως μὲ τοῦ Τειρεσία, τὸν ὁποῖον ἐρώτησε γιὰ τὸ μέλλον. Ἐν συνεχείᾳ ὁ Ὀδυσσεὺς συνωμίλησε μὲ ἕνα πλῆθος ἀπὸ ἡρωίδες καὶ ἥρωες. Μόνον ὁ Αἴας ὁ Τελαμώνιος δὲν τοῦ ἐμίλησε διότι παρέμενε ἀκόμη χολωμένος μαζί του γιὰ τὴν διαμάχη τους σχετικὰ μὲ τὰ ὅπλα τοῦ Ἀχιλλέως. Μάταια ὁ Ὀδυσσεὺς τὸν ἐκάλει νὰ ξεχάσουν τὶς διαφορές τους. Αὐτός, σκυθρωπός, ἀπεμακρύνθη γρήγορα.

{ΑΓΑΜΕΜΝΩΝ} *Ἠξίους δὲ ἀνανταγώνιστος εἶναι καὶ ἀκονιτὶ κρατεῖν ἁπάντων;*

Εἶχες τὴν ἀξίωσιν νὰ μὴν ἔχῃς ἀνταγωνισμὸ καὶ ἀμαχητὶ νὰ ὑπερέχῃς ὅλων;

{ΑΙΑΣ} *Ναί, τά γε τοιαῦτα· οἰκεία γάρ μοι ἦν ἡ πανοπλία τοῦ ἀνεψιοῦ γε οὖσα. καὶ ὑμεῖς οἱ ἄλλοι πολὺ ἀμείνους ὄντες ἀπείπασθε τὸν ἀγῶνα καὶ παρεχωρήσατέ μοι τῶν ἄθλων, ὁ δὲ Λαέρτου, ὃν ἐγὼ πολλάκις ἔσωσα κινδυνεύοντα κατακεκόφθαι ὑπὸ τῶν Φρυγῶν, ἀμείνων ἠξίου εἶναι καὶ ἐπιτηδειότερος ἔχειν τὰ ὅπλα.*

Ναί, τουλάχιστον γι’ αὐτά. Διότι μοῦ ἦσαν οἰκεία ἡ πανοπλία ἀφοῦ βεβαίως ἦτο τοῦ ἐξαδέλφου. Καὶ ἐνῷ ἐσεῖς οἱ ἄλλοι ἤσασταν πολὺ καλλίτεροι, παραιτηθήκατε ἀπὸ τὸν ἀγῶνα καὶ μοῦ παρεχωρήσατε τὰ βραβεῖα, ὁ δὲ [υἱὸς] τοῦ Λαέρτου, τὸν ὁποῖον πολλὲς φορὲς ἐγὼ ἔσωσα ὅταν ἐκινδύνευε νὰ κομματιαστῇ ἀπὸ τοὺς Φρύγες, εἶχε τὴν ἀξίωσιν νὰ εἶναι καλλίτερος καὶ καταλληλότερος στὸ νὰ κρατῇ τὰ ὅπλα.

{ΑΓΑΜΕΜΝΩΝ} *Αἰτιῶ τοιγαροῦν, ὦ γενναῖε, τὴν Θέτιν, ἣ δέον σοὶ τὴν κληρονομίαν τῶν ὅπλων παραδοῦναι συγγενεῖ γε ὄντι, φέρουσα ἐς τὸ κοινὸν κατέθετο αὐτά.*

Τότε λοιπὸν κατηγόρησε, γενναῖε, τὴν Θέτιδα, ἡ ὁποία ἔπρεπε νὰ παραδώσῃ σὲ ἐσένα τὴν κληρονομιὰ τῶν ὅπλων, ἀφοῦ βεβαίως εἶσαι συγγενής. [Ἀντιθέτως] τὰ ἔφερε καὶ τὰ κατέθεσε εἰς τὸ πλῆθος [τῶν στρατιωτῶν].

{ΑΙΑΣ} *Οὔκ, ἀλλὰ τὸν Ὀδυσσέα, ὃς ἀντεποιήθη μόνος.*

Ὄχι, ἀλλὰ τὸν Ὀδυσσέα, ὁ μόνος ὁ ὁποῖος διεκδίκησε.

{ΑΓΑΜΕΜΝΩΝ} *Συγγνώμην, ὦ Αἶαν, εἰ ἄνθρωπος ὢν ὠρέχθη δόξης ἡδίστου πράγματος, ὑπὲρ οὗ καὶ ἡμῶν ἕκαστος κινδυνεύειν ὑπέμενεν, ἐπεὶ καὶ ἐκράτησέ σου καὶ ταῦτα ἐπὶ Τρωσὶ δικασταῖς.*

Δῶσε τόπο στὴν ὀργή, Αἶα, ἀφοῦ ὄντας ἄνθρωπος ἐπεθύμησε δόξα γλυκοῦ πράγματος, ὑπὲρ τοῦ ὁποίου καὶ κάθε ἕνας ἀπὸ ἐμᾶς ὑπέμεινε νὰ κινδυνεύῃ, ἀφοῦ σὲ ἐνίκησε κι ὅλας, καὶ αὐτὰ μπροστὰ σὲ Τρῶας δικαστάς[172].

---

172 Ὑπάρχουν τρεῖς ἐκδοχὲς γιὰ τὸ πῶς ἐλήφθη ἡ ἀπόφασις ὑπὲρ τοῦ Ὀδυσσέως. Ἡ πρώτη ἀναφέρει ὅτι τὴν ἀπόφασιν τὴν ἔλαβον οἱ Ἀχαιοὶ μὲ μυστικὴ ψηφοφορία, ἀλλὰ ὑπῆρξε νοθεία στὴν καταμέτρησιν τῶν ψήφων (Πίνδαρος, Νέμεα 8,26 & Σοφοκλῆς, Αἴας στ.1135). Ἡ δευτέρα ἀναφέρει ὅτι ἐστάλη κατάσκοπος

{ΑΙΑΣ} *Οἶδα ἐγώ, ἥτις μου κατεδίκασεν· ἀλλ' οὐ θέμις λέγειν τι περὶ τῶν θεῶν. τὸν δ' οὖν Ὀδυσσέα μὴ οὐχὶ μισεῖν οὐκ ἂν δυναίμην, ὦ Ἀγάμεμνον, οὐδ' εἰ αὐτή μοι ἡ Ἀθηνᾶ τοῦτο ἐπιτάττοι.*

Ξέρω ἐγώ, ποιά ἐξέφρασε κρίσιν ἐναντίον μου. Ἀλλὰ δὲν εἶναι θεμιτὸ νὰ πῶ κάτι περὶ τῶν θεῶν[173]. Τὸν Ὀδυσσέα λοιπὸν δὲν θὰ μποροῦσα νὰ μὴ μισῶ, Ἀγαμέμνων, οὔτε καὶ ἂν ἡ ἴδια ἡ Ἀθηνᾶ αὐτὸ τυχὸν μοῦ ἐπιτάσσῃ.



στὴν Τροία γιὰ νὰ διαπιστώσῃ ποιόν θεωροῦν οἱ Τρῶες τὸν καλλίτερο Ἕλληνα (Λέσχης, Μικρὰ Ἰλιάς). Ἡ τρίτη ἀναφέρει ὅτι ἐρωτήθηκαν Τρῶες αἰχμάλωτοι γιὰ τὸ ποῖος κατὰ τὴν γνώμη τους ἔκανε τὸ μεγαλύτερο κακὸ στὴν Τροία (Ἀρκτῖνος, Αἰθιοπὶς & Κόιντος Σμυρναῖος, Οἱ μεθ' Ὅμηρον λόγοι, Λόγος Ε' στ.141-320).

173 Ὁ Ὅμηρος κάνει σχετικὴ νύξιν στὴν Ὀδύσσεια (λ 547): «παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη».

ΜΙΝΩΟΣ ΚΑΙ ΣΩΣΤΡΑΤΟΥ

{ΜΙΝΩΣ} *Ὁ μὲν λῃστὴς οὑτοσὶ Σώστρατος εἰς τὸν Πυριφλεγέθοντα ἐμβεβλήσθω, ὁ δὲ ἱερόσυλος ὑπὸ τῆς Χιμαίρας διασπασθήτω, ὁ δὲ τύραννος, ὦ Ἑρμῆ, παρὰ τὸν Τιτυὸν ἀποταθεὶς ὑπὸ τῶν γυπῶν καὶ αὐτὸς κειρέσθω τὸ ἧπαρ, ὑμεῖς δὲ οἱ ἀγαθοὶ ἄπιτε κατὰ τάχος εἰς τὸ Ἠλύσιον πεδίον καὶ τὰς μακάρων νήσους κατοικεῖτε, ἀνθ' ὧν δίκαια ἐποιεῖτε παρὰ τὸν βίον.*

Ὁ μὲν λῃστής, αὐτὸς ἐδῶ ὁ Σώστρατος, νὰ ῥιφθῇ μέσα εἰς τὸν Πυριφλεγέθοντα, ὁ δὲ ἱερόσυλος νὰ ξεσκισθῇ ἀπὸ τὴν Χίμαιρα[174], ὁ δὲ τύραννος, Ἑρμῆ, ἀφοῦ τὸν τεντώσῃς δίπλα στὸν Τιτυό[175], νὰ τοῦ τρώγεται καὶ αὐτοῦ τὸ συκῶτι ἀπὸ τοὺς γύπες. Ἐσεῖς δὲ οἱ ἀγαθοὶ πηγαίνετε στὰ γρήγορα εἰς τὸ Ἠλύσιον πεδίον[176] καὶ κατοικεῖτε εἰς τὰς

---

[174] Τέρας τὸ ὁποῖον ἐγεννήθη ἀπὸ τὸν Τυφῶνα καὶ τὴν Ἔχιδνα. Ἀδέλφια της ἦσαν ὁ Κέρβερος, ἡ Σφὶγξ καὶ ἡ Λερναία Ὕδρα. Τὴν ἐφαντάζοντο ὡς ἑξῆς: Εἶχε σῶμα αἰγός, κεφαλὴ λέοντος καὶ οὐρὰ ἡ ὁποία κατέληγε σὲ φίδι. Τὴν ἐφόνευσε ὁ Βελλερεφόντης. Ἡ λέξις «Χίμαιρα» ὑποδηλώνει τὴν φαντασίωσιν, τὸ ἄπιαστον, τὸ ἀνωφελές.

[175] Ἦτο ἕνας Γίγας, γιὰ τὴν γέννησιν τοῦ ὁποίου ὑπάρχουν δύο ἀρχαιότατες παραδόσεις, ἡ μία τοῦ Ὁμήρου καὶ ἡ ἄλλη τοῦ Ἡσιόδου. Κατὰ τὴν πρώτη, ἦτο υἱὸς τῆς Γαίας καὶ κατὰ τὴν δευτέρα τῆς Ἐλάρας. Οἱ δύο αὐτὲς παραδόσεις, συνεπτύχθησαν ἀργότερα εἰς μίαν, τοῦ Ἀπολλοδώρου. Σύμφωνα μὲ αὐτήν, ὁ Ζεὺς ἦτο ἐραστὴς τῆς Ἐλάρας, τῆς ὡραίας θυγατρὸς τοῦ βασιλέως Ὀρχομενοῦ, τὴν ὁποίαν ἔκρυψε ἐντὸς τῆς Γῆς ὅταν τὴν κατέστησε ἔγκυο, φοβούμενος τὴν ζηλοτυπία τῆς Ἥρας. Ὅταν πέθανε ἡ Ἐλάρα, ἡ Γαῖα ἔφερε στὸ φῶς τὸν Τιτυό, ὁ ὁποῖος γι' αὐτὸν τὸν λόγο ἐθεωρήθη υἱός της. Μεταβαίνοντας ὁ Τιτυὸς κάποτε στοὺς Δελφούς, συνήντησε καθ' ὁδὸν τὴν Λητὼ καὶ καταληφθεὶς ἀπὸ σαρκικὸ πόθο προσεπάθησε νὰ τὴν βιάσῃ. Αὐτὴ ὅμως ἐζήτησε τὴν βοήθεια τῶν παιδιῶν της καὶ ὁ Ἀπόλλων τὸν ἐτόξευσε. Γιὰ τὴν ἀσεβῆ του πρᾶξιν ἐτιμωρήθη καὶ μετὰ θάνατον, ἀφοῦ κατεκρημνίσθη στὸν Τάρταρο. Καθηλωμένος ἐκεῖ, ἐβασανίζετο ἀπὸ δύο γύπες, οἱ ὁποῖοι κατέτρωγον τὸ συκῶτι του.

[176] Φανταστικὸς τόπος στὴν δυτικὴ ἐσχατιὰ τῆς γῆς, ὅπου οἱ ἥρωες ζοῦσαν χωρὶς βάσανα καὶ κόπους, τόπος ἄβατος λόγῳ τῆς ἱερότητός του. Ἡ ὀνομασία Ἠλύσια ἀπαντᾶται γιὰ πρώτη φορὰ στὴν Ὀδύσσεια. Στὴν ῥαψῳδία δ (στ. 561-569), ὁ Πρωτεὺς προλέγει στὸν Μενέλαο ὅτι δὲν πρόκειται νὰ πεθάνῃ στὸ Ἄργος, ἀλλὰ ὅτι οἱ ἀθάνατοι θεοὶ θὰ τὸν πέμψουν στὸ Ἠλύσιον Πεδίον καὶ στὰ πέρατα τῆς γῆς, ὅπου εὑρίσκεται ὁ ξανθὸς Ῥαδάμανθυς καὶ ὅπου οἱ ἄνθρωποι ζοῦν χωρὶς πόνο, σὲ διαρκῆ εὐτυχία. Ἐκεῖ δὲν ὑπάρχει χιόνι, οὔτε θύελλα, οὔτε βροχή, ἀλλὰ ὁ Ζέφυρος πάντοτε στέλνει τὴν δροσερὴ πνοή του γιὰ νὰ δροσίζῃ τοὺς ἀνθρώπους. Τὸ Ἠλύσιον, κατὰ τὸν Ὅμηρο, δὲν εἶναι τόπος τοῦ Ἅδου, ἀλλὰ χώρα στὴν ἐπιφάνεια τῆς Γῆς, καθωρισμένη γιὰ τὴν διαμονή, ὄχι ψυχῶν χωρισμένων ἀπὸ τὰ σώματα, ἀλλὰ ἀνθρώπων. Σύμφωνα μὲ τοὺς ἐπικοὺς ποιητάς, τοὺς μεταγενεστέρους τοῦ Ὁμήρου καὶ μάλιστα στὸν Πίνδαρο, τὰ Ἠλύσια ἢ αἱ νῆσοι τῶν Μακάρων εἶναι προνομιοῦχος διαμονὴ ποὺ προορίζεται γιὰ τὰ τέκνα τῶν θεῶν καὶ τοὺς ἐνδόξους ἥρωας, οἱ ὁποῖοι τρεῖς φορὲς κάθε ἔτος ἡ γῆ προσφέρει γλυκοὺς καρπούς. Τὸ στενὸ καὶ ἀριστοκρατικὸ αὐτὸ δόγμα ἄρχισε νὰ διευρύνεται μὲ τὴν ἐπιρροὴ τῶν Μυστηρίων. Ὅταν τὸ ἱερὸν τῆς Ἐλευσῖνος ἔγινε προσιτὸ σὲ ὅλους, ἡ εὐτυχία τῶν Ἠλυσίων δὲν ἀνῆκε πλέον ἀποκλειστικὰ σὲ μία ἐπίλεκτη τάξι τῆς ἀνθρωπότητος ἀλλὰ μετεδόθη σὲ ὅλους ἐκείνους τοὺς ὁποίους εἶχαν λάβει μέρος στὶς ἱερὲς τελετές. Μετὰ ἀπὸ λίγο τὴν ὑπεσχέθησαν καὶ οἱ ποιηταί, ὄχι μόνον σὲ μεμυημένους ἀλλὰ σὲ ὅλους ἐκείνους, οἱ ὁποῖοι ἔζησαν καὶ ἔπραξαν τὸ ἀγαθὸν καὶ τὸ δίκαιον. Ἐπίστευον ὅτι αἱ νῆσοι τῶν Μακάρων

νήσους τῶν Μακάρων, ὡς ἀμοιβὴ δι’ ὅσα δίκαια ἐπράξατε καθ’ ὅλην τὴν διάρκεια τοῦ βίου.

{ΣΩΣΤΡΑΤΟΣ} *Ἄκουσον, ὦ Μίνως, εἴ σοι δίκαια δόξω λέγειν.*

Ἄκουσε, Μίνως[177], ἐὰν θὰ σοῦ φανῶ ὅτι ὁμιλῶ δικαίως.

{ΜΙΝΩΣ} *Νῦν ἀκούσω αὖθις; οὐ γὰρ ἐξελήλεγξαι, ὦ Σώστρατε, πονηρὸς ὢν καὶ τοσούτους ἀπεκτονώς;*

Πάλι τώρα νὰ σὲ ἀκούσω; Δὲν ἔχει ἀποδειχθῇ καθαρά, Σώστρατε, ὅτι εἶσαι κακὸς καὶ ἔχεις τόσους φονεύσει;

{ΣΩΣΤΡΑΤΟΣ} *Ἐλήλεγμαι μέν, ἀλλ’ ὅρα, εἰ δικαίως κολασθήσομαι.*

Ἔχω κατηγορηθῇ μέν, ἀλλὰ δές, ἐὰν θὰ τιμωρηθῶ δικαίως.

{ΜΙΝΩΣ} *Καὶ πάνυ, εἴ γε ἀποτίνειν τὴν ἀξίαν δίκαιον.*

Καὶ πολὺ δίκαιον [θὰ εἶναι], ἐὰν πληρώσῃς τὸ τίμημα.

{ΣΩΣΤΡΑΤΟΣ} *Ὅμως ἀπόκριναί μοι, ὦ Μίνως· βραχὺ γάρ τι ἐρήσομαί σε.*

Ὅμως ἀποκρίσου μου, Μίνως. Διότι κάτι σύντομο θὰ σὲ ἐρωτήσω.

{ΜΙΝΩΣ} *Λέγε, μὴ μακρὰ μόνον, ὡς καὶ τοὺς ἄλλους διακρίνωμεν ἤδη.*

Λέγε, μόνον μὴ μακρυγορῇς, γιὰ νὰ κρίνουμε καὶ τοὺς ἄλλους.

{ΣΩΣΤΡΑΤΟΣ} *Ὁπόσα ἔπραττον ἐν τῷ βίῳ, πότερα ἑκὼν ἔπραττον ἢ ἐπεκέκλωστό μοι ὑπὸ τῆς Μοῖρας;*

Ἀπ’ ὅσα ἔπραττα στὴν ζωή, ποιό ἀπὸ τὰ δύο, μὲ τὴν θέλησίν μου τὰ ἔπραττα ἤ μοῦ εἶχαν κλωσθῇ ἀπὸ τὴν Μοῖρα;

{ΜΙΝΩΣ} *Ὑπὸ τῆς Μοῖρας δηλαδή.*

ἦσαν δύο νῆσοι στὸν Ἀτλαντικὸ Ὠκεανό, ποὺ ἀπεῖχον ἀπὸ τὴν Ἀφρικανικὴ ἀκτὴ 10.000 στάδια καὶ ἴσως νὰ εἶναι αἱ Κανάριοι νῆσοι.

[177] Βασιλεὺς τῆς Κρήτης, υἱὸς τοῦ Διὸς καὶ τῆς Εὐρώπης, ἀδελφὸς τοῦ Ῥαδαμάνθυος καὶ τοῦ Σαρπηδόνος. Εἶχε τὴν φήμη σοφοῦ καὶ δικαίου ἀνδρός. Ἐθέσπισε νόμους οἱ ὁποῖοι ἐβοήθησαν στὸν ἐκπολιτισμὸ τῆς Κρήτης. Τοὺς νόμους αὐτοὺς προσεποιεῖτο, ὅπως ἀναφέρει ὁ Διόδωρος ὁ Σικελιώτης (Ἱστορικὴ Βιβλιοθήκη, Βιβλίον 1ον 94,1,11), ὅτι τοὺς παρελάμβανε ἀπὸ τὸν ἴδιο τὸν Δία, κάθε ἐννέα ἔτη, ἐπάνω στὸ ὅρος Ἴδη. Δὲν πρέπει νὰ συγχέεται μὲ τὸν μεταγενέστερο Μίνωα, πατέρα τοῦ Μινωταύρου καὶ κτίστη τοῦ Λαβυρίνθου.

Ἀπὸ τὴν Μοῖρα φυσικά.

{ΣΩΣΤΡΑΤΟΣ} *Οὐκοῦν καὶ οἱ χρηστοὶ ἅπαντες καὶ οἱ πονηροὶ δοκοῦντες ἡμεῖς ἐκείνῃ ὑπηρετοῦντες ταῦτα ἐδρῶμεν;*

Ἑπομένως, ἅπαντες οἱ ἐνάρετοι καὶ ἐμεῖς οἱ κακοὶ τὰ ἐπράξαμεν αὐτὰ ἐπειδὴ θεωρούσαμε ὅτι ὑπηρετούσαμε ἐκείνην;

{ΜΙΝΩΣ} *Ναί, τῇ Κλωθοῖ, ἣ ἑκάστῳ ἐπέταξε γεννηθέντι τὰ πρακτέα.*

Ναί, τὴν Κλωθώ[178], ἡ ὁποία σὲ κάθε ἕναν διέταξε ἀπὸ τὴν γέννησίν του, αὐτὰ ποὺ πρέπει νὰ πράξῃ.

{ΣΩΣΤΡΑΤΟΣ} *Εἰ τοίνυν ἀναγκασθείς τις ὑπ' ἄλλου φονεύσειέν τινα οὐ δυνάμενος ἀντιλέγειν ἐκείνῳ βιαζομένῳ, οἷον δήμιος ἢ δορυφόρος, ὁ μὲν δικαστῇ πεισθείς, ὁ δὲ τυράννῳ, τίνα αἰτιάσῃ τοῦ φόνου;*

Ἐὰν λοιπὸν κάποιος ἀναγκασθεὶς ἀπὸ ἄλλον νὰ φονεύσῃ κάποιον, χωρὶς νὰ μπορῇ νὰ φέρῃ ἀντιρρήσεις, πιεζόμενος ἀπὸ ἐκεῖνον, ὅπως ὁ δήμιος ἢ ὁ σωματοφύλαξ, ὁ μὲν ὑπακούοντας στὸν δικαστή, ὁ δὲ στὸν ἄρχοντα, ποιόν θὰ κατηγορήσῃς γιὰ τὸν φόνο;

{ΜΙΝΩΣ} *Δῆλον ὡς τὸν δικαστὴν ἢ τὸν τύραννον, ἐπεὶ οὐδὲ τὸ ξίφος αὐτό· ὑπηρετεῖ γὰρ ὄργανον ὂν τοῦτο πρὸς τὸν θυμὸν τῷ πρώτῳ παρασχόντι τὴν αἰτίαν.*

[Εἶναι] φανερὸν ὅτι τὸν δικαστὴ ἢ τὸν ἄρχοντα, ἄρα οὔτε καὶ τὸ ἴδιο τὸ ξίφος. Διότι ὑπηρετεῖ, καθὼς εἶναι ὄργανον, ἀνάλογα μὲ τὴν διάθεσιν τοῦ πρώτου ὁ ὁποῖος παρέχει τὴν αἰτίαν.

{ΣΩΣΤΡΑΤΟΣ} *Εὖ γε, ὦ Μίνως, ὅτι καὶ ἐπιδαψιλεύῃ τῷ παραδείγματι. ἢν δέ τις ἀποστείλαντος τοῦ δεσπότου ἥκῃ αὐτὸς χρυσὸν ἢ ἄργυρον κομίζων, τίνι τὴν χάριν ἰστέον ἢ τίνα εὐεργέτην ἀναγραπτέον;*

Εὖγε, Μίνως, ποὺ ἐνισχύεις κι ὅλας μὲ τὸ παράδειγμα. Ἐὰν κάποιος φθάσῃ ἀπεσταλμένος τοῦ κυρίου του κομίζων ὁ ἴδιος χρυσὸν ἢ ἄργυρον, σὲ ποιόν πρέπει νὰ χρωστοῦμε εὐγνωμοσύνη ἢ ποιόν πρέπει νὰ τιμήσουμε ὡς εὐεργέτην;

---

178 Μία ἀπὸ τὶς τρεῖς Μοῖρες. Αὐτὴ ἔκλωθε καὶ ὥριζε πόσο μακρὺ θὰ ἦτο τὸ νῆμα τῆς ζωῆς κάθε ἀνθρώπου.

{ΜΙΝΩΣ} *Τὸν πέμψαντα, ὦ Σώστρατε· διάκονος γὰρ ὁ κομίσας ἦν.*

Αὐτὸν ποὺ ἔστειλε, Σώστρατε. Διότι ὑπηρέτης ἦτο ὁ κομιστής.

{ΣΩΣΤΡΑΤΟΣ} *Οὐκοῦν ὁρᾷς πῶς ἄδικα ποιεῖς κολάζων ἡμᾶς ὑπηρέτας γενομένους ὧν ἡ Κλωθὼ προσέταττεν, καὶ τούτους τιμήσας τοὺς διακονησαμένους ἀλλοτρίοις ἀγαθοῖς; οὐ γὰρ δὴ ἐκεῖνό γε εἰπεῖν ἔχοι τις ὡς ἀντιλέγειν δυνατὸν ἦν τοῖς μετὰ πάσης ἀνάγκης προστεταγμένοις.*

Δὲν βλέπεις λοιπὸν ὅτι ἄδικα πράττεις ποὺ τιμωρεῖς ἐμᾶς ποὺ γίναμε ὑπηρέτες ὅσων ἡ Κλωθὼ προσέταξε, ἐνῷ ἐτίμησες αὐτοὺς οἱ ὁποῖοι ὑπηρέτησαν μὲ ἀλλότρια ἀγαθά; Διότι δὲν θὰ μποροῦσε κάποιος νὰ πῇ ἐκεῖνο, ὅτι ἦτο δυνατὸν νὰ ἀντιλέγῃ στὰ ἀναγκαστικῶς προστεταγμένα[179].

{ΜΙΝΩΣ} *Ὦ Σώστρατε, πολλὰ ἴδοις ἂν καὶ ἄλλα οὐ κατὰ λόγον γιγνόμενα, εἰ ἀκριβῶς ἐξετάζοις. πλὴν ἀλλὰ σὺ τοῦτο ἀπολαύσεις τῆς ἐπερωτήσεως, διότι οὐ λῃστὴς μόνον, ἀλλὰ καὶ σοφιστής τις εἶναι δοκεῖς. ἀπόλυσον αὐτόν, ὦ Ἑρμῆ, καὶ μηκέτι κολαζέσθω. ὅρα δὲ μὴ καὶ τοὺς ἄλλους νεκροὺς τὰ ὅμοια ἐρωτᾶν διδάξῃς.*

Σώστρατε, καὶ ἄλλα πολλὰ θὰ μποροῦσες νὰ δῇς νὰ μὴ γίνωνται σύμφωνα μὲ τὴν λογική, ἐὰν ἐξετάζῃς λεπτομερῶς. Ἀλλὰ ἐσὺ τοῦτο θὰ ἀπολαύσῃς ἀπὸ τὴν ἐπερώτησιν, διότι νομίζεις ὅτι εἶσαι ὄχι μόνον λῃστής, ἀλλὰ καὶ κάποιος σοφιστής. Ἀπελευθέρωσέ τον, Ἑρμῆ, καὶ νὰ μὴ τιμωρηθῇ πλέον. Κύττα μόνον μὴ καὶ διδάξῃς τοὺς ἄλλους νεκροὺς νὰ ἐρωτοῦν τὰ ἴδια.



[179] Οἱ Ἕλληνες πολὺ ἐνωρὶς κατενόησαν ὅτι ὅλα τὰ γεγονότα καὶ ὅλα τὰ φαινόμενα εἶναι ἀποτέλεσμα κάποιας ἀλληλουχίας, ἡ ὁποία πολλὲς φορὲς δὲν εἶναι ἀμέσως ἀντιληπτὴ ἀλλὰ ὅταν κατανοηθῇ καὶ ἑρμηνευθῇ σωστὰ ἀποδεικνύεται ὅτι εἶναι αἰτιολογημένη καὶ ὄχι αὐθαίρετη. Ἡ κατανόησις τῆς φυσικῆς πραγματικότητος κλείνεται σὲ μία λέξιν, τὴν Ἀνάγκη, μὲ τὴν ἔννοια τῆς αἰτιοκρατίας στὴν λειτουργία τῶν νόμων τῆς φύσεως. Ἐρωτηθεὶς ὁ Θαλῆς «Τί ἰσχυρότατον;» ἀπήντησε: «Ἀνάγκη. Μόνον γὰρ ἀνίκητον». Ο Sigmund Freud (1856-1939) εἶχε πεῖ ὅτι: «Οἱ Ἕλληνες ὑπῆρξαν ὁ πιὸ εὐφυὴς λαὸς τῆς ἀρχαιότητος ἐπειδὴ πρῶτοι κατενόησαν τὴν ἔννοια τῆς Ἀνάγκης καὶ ὑπετάχθησαν εἰς αὐτὴν» (Ἀπόσπασμα ἀπὸ τὴν ὁμιλία τοῦ Δημητρίου Λιαντίνη στὶς 31/1/1998 στὴν Σπάρτη μὲ θέμα: «Οἱ δωριστὶ ἁρμονίες: Τὸ ἀληθινὸ πρόσωπον τῆς ἀρχαίας Σπάρτης»).

ΑΛΕΞΑΝΔΡΟΥ, ΑΝΝΙΒΟΥ, ΜΙΝΩΟΣ ΚΑΙ ΣΚΙΠΙΩΝΟΣ

{ΑΛΕΞΑΝΔΡΟΣ} *Ἐμὲ δεῖ προκεκρίσθαι σου, ὦ Λίβυ· ἀμείνων γάρ εἰμι.*

Ἐμένα ἔπρεπε νὰ ἔχουν ἐκλέξει πρῶτον παρὰ ἐσένα, Λίβυ, διότι εἶμαι καλλίτερος.

{ΑΝΝΙΒΑΣ} *Οὐ μὲν οὖν, ἀλλ᾽ ἐμέ.*

Ὄχι δά, ἀλλὰ ἐμένα.

{ΑΛΕΞΑΝΔΡΟΣ} *Οὐκοῦν ὁ Μίνως δικασάτω.*

Ἂς δικάσῃ λοιπὸν ὁ Μίνως.

{ΜΙΝΩΣ} *Τίνες δὲ ἐστέ;*

Ποῖοι εἶσθε;

{ΑΛΕΞΑΝΔΡΟΣ} *Οὗτος μὲν Ἀννίβας ὁ Καρχηδόνιος, ἐγὼ δὲ Ἀλέξανδρος ὁ Φιλίππου.*

Αὐτὸς μὲν ὁ Ἀννίβας ὁ Καρχηδόνιος[180], ἐγὼ δὲ ὁ Ἀλέξανδρος [ὁ υἱὸς] τοῦ Φιλίππου.

{ΜΙΝΩΣ} *Νὴ Δία ἔνδοξοί γε ἀμφότεροι. ἀλλὰ περὶ τίνος ὑμῖν ἡ ἔρις;*

Μὰ τὸν Δία, ἔνδοξοι βεβαίως καὶ οἱ δύο. Ἀλλὰ περὶ τίνος [πράγματος] ἡ ἔρις ἀνάμεσά σας;

{ΑΛΕΞΑΝΔΡΟΣ} *Περὶ προεδρίας· φησὶ γὰρ οὗτος ἀμείνων γεγενῆσθαι στρατηγὸς ἐμοῦ, ἐγὼ δέ, ὥσπερ ἅπαντες ἴσασιν, οὐχὶ τούτου μόνον, ἀλλὰ πάντων σχεδὸν τῶν πρὸ ἐμοῦ φημι διενεγκεῖν τὰ πολέμια.*

Περὶ πρωτοκαθεδρίας. Ἐπειδὴ αὐτὸς ἰσχυρίζεται ὅτι ἔχει γίνει καλλίτερος στρατηγὸς ἀπὸ ἐμένα, ἐνῷ ἐγὼ ἰσχυρίζομαι ὅτι ὑπερεῖχα ὄχι μόνον αὐτοῦ, ὅπως ἀκριβῶς γνωρίζουν ὅλοι, ἀλλὰ ὅλων σχεδὸν τῶν πρὶν ἀπὸ ἐμένα, [ὡς πρὸς] τὴν πολεμικὴ τέχνη.

{ΜΙΝΩΣ} *Οὐκοῦν ἐν μέρει ἑκάτερος εἰπάτω, σὺ δὲ πρῶτος ὁ Λίβυς λέγε.*

Λοιπόν, ἂς μιλήσῃ κάθε ἕνας μὲ τὴν σειρά του, ἐσὺ ὁ Λίβυς λέγε πρῶτος.

---

[180] Καρχηδόνιος στρατηγός, γεννηθεὶς τὸ 247π.Χ. Ἦτο ὁ πρῶτος υἱὸς τοῦ Ἀμίλκα Βάρκα, τοῦ μεγάλου στρατηγοῦ, ὁ ὁποῖος ὡδήγησε τὸν πρῶτο πόλεμο κατὰ τῶν Ῥωμαίων (264-241π.Χ.). Διωρίσθη ἀρχιστράτηγος σὲ ἡλικία 26 ἐτῶν. Τὸ 211π.Χ. κατάφερε νὰ φθάσῃ μπροστὰ ἀπὸ τὶς πύλες τῆς Ῥώμης, ἐξ οὗ καὶ τὸ παροιμιακίον «Hannibal ante portas» (ὁ Ἀννίβας πρὸ τῶν πυλῶν).

{ΑΝΝΙΒΑΣ} *Ἓν μὲν τοῦτο, ὦ Μίνως, ὠνάμην, ὅτι ἐνταῦθα καὶ τὴν Ἑλλάδα φωνὴν ἐξέμαθον· ὥστε οὐδὲ ταύτῃ πλέον οὗτος ἐνέγκαιτό μου. φημὶ δὲ τούτους μάλιστα ἐπαίνου ἀξίους εἶναι, ὅσοι τὸ μηδὲν ἐξ ἀρχῆς ὄντες ὅμως ἐπὶ μέγα προεχώρησαν δι᾽ αὑτῶν δύναμίν τε περιβαλόμενοι καὶ ἄξιοι δόξαντες ἀρχῆς. ἔγωγ᾽ οὖν μετ᾽ ὀλίγων ἐξορμήσας εἰς τὴν Ἰβηρίαν τὸ πρῶτον ὕπαρχος ὢν τῷ ἀδελφῷ μεγίστων ἠξιώθην ἄριστος κριθείς, καὶ τούς τε Κελτίβηρας εἷλον καὶ Γαλατῶν ἐκράτησα τῶν ἑσπερίων καὶ τὰ μεγάλα ὄρη ὑπερβὰς τὰ περὶ τὸν Ἠριδανὸν ἅπαντα κατέδραμον καὶ ἀναστάτους ἐποίησα τοσαύτας πόλεις καὶ τὴν πεδινὴν Ἰταλίαν ἐχειρωσάμην καὶ μέχρι τῶν προαστείων τῆς προὐχούσης πόλεως ἦλθον καὶ τοσούτους ἀπέκτεινα μιᾶς ἡμέρας, ὥστε τοὺς δακτυλίους αὐτῶν μεδίμνοις ἀπομετρῆσαι καὶ τοὺς ποταμοὺς γεφυρῶσαι νεκροῖς. καὶ ταῦτα πάντα ἔπραξα οὔτε Ἄμμωνος υἱὸς ὀνομαζόμενος οὔτε θεὸς εἶναι προσποιούμενος ἢ ἐνύπνια τῆς μητρὸς διεξιών, ἀλλ᾽ ἄνθρωπος εἶναι ὁμολογῶν, στρατηγοῖς τε τοῖς συνετωτάτοις ἀντεξεταζόμενος καὶ στρατιώταις τοῖς μαχιμωτάτοις συμπλεκόμενος, οὐ Μήδους καὶ Ἀρμενίους καταγωνιζόμενος ὑποφεύγοντας πρὶν διώκειν τινὰ καὶ τῷ τολμήσαντι παραδιδόντας εὐθὺς τὴν νίκην. Ἀλέξανδρος δὲ πατρῴαν ἀρχὴν παραλαβὼν ηὔξησεν καὶ παρὰ πολὺ ἐξέτεινε χρησάμενος τῇ τῆς τύχης ὁρμῇ. ἐπεὶ δ᾽ οὖν ἐνίκησέ τε καὶ τὸν ὄλεθρον ἐκεῖνον Δαρεῖον ἐν Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, ἀποστὰς τῶν πατρῴων προσκυνεῖσθαι ἠξίου καὶ δίαιταν τὴν Μηδικὴν μετεδιήτησεν ἑαυτὸν καὶ ἐμιαιφόνει ἐν τοῖς συμποσίοις τοὺς φίλους καὶ συνελάμβανεν ἐπὶ θανάτῳ. ἐγὼ δὲ ἦρξα ἐπ᾽ ἴσης τῆς πατρίδος, καὶ ἐπειδὴ μετεπέμπετο τῶν πολεμίων μεγάλῳ στόλῳ ἐπιπλευσάντων τῇ Λιβύῃ, ταχέως ὑπήκουσα, καὶ ἰδιώτην ἐμαυτὸν παρέσχον καὶ καταδικασθεὶς ἤνεγκα εὐγνωμόνως τὸ πρᾶγμα. καὶ ταῦτα ἔπραξα βάρβαρος ὢν καὶ ἀπαίδευτος παιδείας τῆς Ἑλληνικῆς καὶ οὔτε Ὅμηρον ὥσπερ οὗτος ῥαψῳδῶν οὔτε ὑπ᾽ Ἀριστοτέλει τῷ σοφιστῇ παιδευθείς, μόνῃ δὲ τῇ φύσει ἀγαθῇ χρησάμενος. ταῦτά ἐστιν ἃ ἐγὼ Ἀλεξάνδρου ἀμείνων φημὶ εἶναι. εἰ δέ ἐστι καλλίων οὑτοσί, διότι διαδήματι τὴν κεφαλὴν διεδέδετο, Μακεδόσι ἴσως καὶ ταῦτα σεμνά, οὐ μὴν διὰ τοῦτο ἀμείνων μὲν δόξειεν ἂν γενναίου καὶ στρατηγικοῦ ἀνδρὸς τῇ γνώμῃ πλέον ἤπερ τῇ τύχῃ κεχρημένου.*

Σὲ ἕνα μόνον ὠφελήθην, Μίνως, ὅτι ἐδῶ ἔμαθα πολὺ καλὰ καὶ τὴν ἑλληνικὴ γλώσσα[181], ὥστε οὔτε μὲ τὴν χρῆσιν της μπορεῖ πλέον αὐτὸς νὰ μὲ ξεπεράσῃ. Θεωρῶ δέ, ὅτι αὐτοὶ εἶναι περισσότερο ἀξιέπαινοι, ὅσοι μολονότι εὑρίσκοντο ἐξ ἀρχῆς εἰς τὸ μηδέν, προώδευσαν ἀρκετὰ ἐξ αἰτίας καὶ τῆς χρήσεως τῆς δυνάμεώς τους καὶ ἐπειδὴ ἐθεωρήθησαν ἄξιοι γιὰ ἐξουσία. Ἐγὼ λοιπόν, ἀφοῦ ἐξώρμησα μαζὶ μὲ ὀλίγους εἰς τὴν Ἰβηρίαν, ὄντας ἀρχικῶς ὕπαρχος τοῦ ἀδελφοῦ μου, ἀξιώθηκα μεγίστων [τιμῶν] κριθεὶς ὡς ἄριστος, καὶ τοὺς Κελτίβηρας[182] ὑπέταξα καὶ τοὺς Γαλάτας[183] στὰ δυτικὰ

[181] Ὁ Ἕλλην Σιληνὸς τοῦ ἐδίδαξε ἑλληνικὰ καὶ φιλοσοφία, ἐνῷ ταυτοχρόνως ἐξεπαιδεύετο στὴν τέχνη τοῦ πολέμου. Ἐπίσης, γιὰ τὴν διαμόρφωσι τοῦ χαρακτῆρος του, ἀπὸ μικρὴ ἡλικία ἐδιδάχθη γιὰ τὸν Ἀλέξανδρο, γιὰ τὸν τρόπο ποὺ πολεμοῦσε καὶ γιὰ τὶς νῖκες ποὺ ἐπέτυχε. Ἐδιδάχθη ἐπὶ πλέον Ξενοφῶντα, Πλάτωνα, Ὅμηρο, Εὐριπίδη, Ἐρατοσθένη, Ἀριστοτέλη, Δημοσθένη. Ἔμαθε ἀργότερα γιὰ τὶς περιπέτειες τοῦ Ἡρακλέους καὶ γιὰ τὶς μάχες τοῦ βασιλέως τῆς Ἠπείρου Πύρρου.

[182] Ἀρχαῖος λαὸς τῆς Ἰβηρικῆς χερσονήσου ὁ ὁποῖος προέκυψε ἀπὸ τὴν συγχώνευσι τοῦ αὐτόχθονος πληθυσμοῦ τῆς χώρας, ὁ ὁποῖος ἀναφέρεται στὶς πηγὲς μὲ τὴν ὀνομασία Ἴβηρες, μὲ τὰ πρῶτα κύματα τῶν Κελτῶν εἰσβολέων, ἡ ἄφιξις τῶν ὁποίων (ἕνα ἀπὸ τὰ σημαντικώτερα γεγονότα στὴν ἱστορία τῆς Ἰβηρικῆς χερσονήσου) τοποθετεῖται στὰ τέλη τῆς ἐποχῆς τοῦ Ὀρειχάλκου (900-800π.Χ.). Γύρω στὰ μέσα της 1ης χιλιετίας π.Χ. θὰ σημειωθῆ ἡ ἔναρξις τῶν μαζικῶν εἰσβολῶν τῶν κελτικῶν φύλων, προερχομένων ἀπὸ τὴν σημερινὴ Νότιο Γαλλία, τὰ ὁποῖα θὰ ὑποτάξουν τοὺς αὐτόχθονες καὶ θὰ ἐγκατασταθοῦν στὸ δυτικὸ καὶ κεντρικὸ τμῆμα τῆς Ἰβηρικῆς. Οἱ Κελτίβηρες μνημονεύονται ἀπὸ τὸν Στράβωνα (Γ΄ ΙΙ. 11 καὶ 15, IV. 12-14) ὁ ὁποῖος ἀναφέρει ἀρκετὲς πληροφορίες γιὰ τὰ φῦλα τους, τὶς πόλεις τους, καὶ τὸ ὅτι σύμφωνα μὲ τὸν Ποσειδώνιο (φιλόσοφος καὶ ἱστορικὸς τοῦ 2ου-1ου αἰῶνος π.Χ. ἀπὸ τὴν Ἀπάμεια τῆς Συρίας) οἱ κάτοικοι ἦσαν πλούσιοι παρ' ὅλο ποὺ κατοικοῦσαν σὲ πτωχὴ χώρα. Χαρακτηριστικὸ εἶναι τὸ σχόλιό του ὅτι «οἱ Κελτίβηρες εἶχαν θεωρηθῆ ἀπ' ὅλους ὡς οἱ πλέον θηριώδεις ἄνθρωποι». Σημαντικὲς πληροφορίες γιὰ τοὺς Κελτίβηρες ἀναφέρει καὶ ὁ Διόδωρος ὁ Σικελιώτης (Ε΄ 33-34) ὁ ὁποῖος ἐπικεντρώνεται κυρίως στὶς πολεμικὲς ἀρετές τους καὶ στὸν στρατιωτικό τους ἐξοπλισμό, ἐνῷ μνημονεύει καὶ τὴν ἀηδιαστικὴ συνήθεια ποὺ εἶχαν (ἀναφέρεται καὶ ἀπὸ τὸν Στράβωνα Γ΄ IV. 16) νὰ λούζουν τὸ σῶμα τους μὲ οὖρα ποὺ συνεκέντρωνον σὲ δοχεῖα καὶ νὰ τρίβουν τὰ δόντια τους μὲ αὐτά, ἐπειδὴ ἐθεώρουν ὅτι αὐτὴ εἶναι ἡ σωστὴ φροντίς. Ἡ ὀνομασία Κελτίβηρες ἐχρησιμοποιήθη γιὰ πρώτη φορὰ ἀπὸ τὸν ἱστορικὸ καὶ γεωγράφο Τίμαιο (356-260π.Χ.) ὁ ὁποῖος κατήγετο ἀπὸ τὸ Ταυρομένιο τῆς Σικελίας.

[183] Τὸ σύνολον τῶν φυλῶν καὶ τῶν λαῶν οἱ ὁποῖοι κατοικοῦσαν τὴν μεταξὺ Ἀτλαντικοῦ, Μάγχης, Ῥήνου, Ἄλπεων, Μεσογείου καὶ Πυρηναίων, χώρα τῆς Εὐρώπης. Ὁ Διόδωρος ὁ Σικελιώτης (Ε' 24) ἐξηγεῖ πῶς οἱ Γαλάτες ἐπῆραν τὸ ὄνομά τους: «Παλαιότερα, στὴν χώρα τῶν Κελτῶν, ἐβασίλευε ἐπιφανὴς ἄνδρας, τοῦ ὁποίου ἡ κόρη ἔγινε ὑπερβολικὰ μεγάλη ὡς πρὸς τὸ μέγεθος τοῦ σώματος καὶ ξεχώριζε κατὰ πολὺ ἀπὸ τὶς ἄλλες ὡς πρὸς τὴν εὐπρέπεια. Αὐτή, λόγῳ τῆς δυνάμεως τοῦ σώματός της καὶ τῆς θαυμαζομένης εὐπρέπειάς της, ἠρνεῖτο τὸν γάμο καὶ περιεφρόνει ὅλους τοὺς μνηστῆρας, διότι ἐνόμιζε ὅτι κανεὶς ἀπὸ αὐτοὺς δὲν ἦτο ἄξιός της. Κατὰ τὴν ἐκστρατεία τοῦ Ἡρακλέους ἐναντίον τοῦ Γηρυόνου, ὅταν αὐτὸς (ὁ Ἡρακλῆς) ἔφθασε στὴν Κελτικὴ χώρα, ἀφοῦ τὸν εἶδε καὶ ἐθαύμασε τὴν ἀρετή του καὶ τὴν ὑπεροχὴ τοῦ σώματός του, ἐδέχθη μὲ μεγάλη προθυμία νὰ ἔλθῃ εἰς ἐπαφὴν μαζί του, ἀφοῦ συγκατένευσαν καὶ οἱ γονεῖς. Ἀφοῦ συνευρέθη μὲ τὸν Ἡρακλῆ ἐγέννησε υἱὸν ὀνόματι Γαλάτη, ὁ ὁποῖος προεῖχε κατὰ πολὺ τῶν ὁμοεθνῶν του ὡς πρὸς τὴν ἀρετὴ τῆς ψυχῆς καὶ τὴν ῥώμη τοῦ σώματος. Ὅταν ἠνδρώθη καὶ παρέλαβε τὴν πατρικὴ βασιλεία, κατέκτησε μεγάλα τμήματα τῆς χώρας καὶ διέπραξε σπουδαῖες πολεμικὲς πράξεις.

ἐνίκησα, καὶ ἀφοῦ ὑπερέβην τὰ ὑψηλὰ ὄρη γύρω ἀπὸ τὸν Ἠριδανὸν[184] ὅλα τὰ ἐλεηλάτησα, καὶ τόσες πόλεις κατέστρεψα, καὶ τὴν πεδινὴ Ἰταλία ἔβαλα στὸ χέρι καὶ ἔφθασα μέχρι τὰ προάστεια τῆς ἐξεχούσης πόλεως[185]. Καὶ τόσους ἐφόνευσα σὲ μία ἡμέρα ὥστε θὰ μποροῦσε [κάποιος] τυχὸν νὰ μετρήσῃ τὰ δακτυλίδια τους σὲ μεδίμνους[186] καὶ τοὺς ποταμοὺς νὰ τοὺς γεφυρώσῃ μὲ νεκρούς. Καὶ ὅλα αὐτὰ τὰ ἔπραξα χωρὶς νὰ ὀνομασθῶ υἱὸς τοῦ Ἄμμωνος, οὔτε προσποιούμενος ὅτι εἶμαι θεὸς ἢ διηγούμενος τὰ ὄνειρα τῆς μητρός, ἀλλὰ ὁμολογώντας ὅτι εἶμαι ἄνθρωπος, ἀναμετριόμουν μὲ τοὺς συνετωτάτους τῶν στρατηγῶν καὶ πολεμοῦσα μὲ στρατιῶτες μαχιμοτάτους, δὲν κατετρόπωνα Μήδους καὶ Ἀρμενίους οἱ ὁποῖοι, πρὶν κάποιος τοὺς καταδιώξῃ, ἐτρέποντο εἰς φυγὴν καὶ παρέδιδον ἀμέσως τὴν νίκη στὸν τολμῶντα! Ὁ Ἀλέξανδρος ὅμως, ἀφοῦ παρέλαβε τὴν πατρικὴ ἐξουσία, τὴν ηὔξησε καὶ τὴν ἐπέκτεινε πάρα πολύ, διότι ἐχρησιμοποίησε τὴν ὁρμὴ τῆς τύχης. Ἐπειδὴ λοιπὸν καὶ ἐνίκησε ἐκεῖνον τὸν ἐλεεινὸ τὸν Δαρεῖο[187] στὴν Ἰσσὸ[188] καὶ ἐπεκράτησε στὰ Ἄρβηλα[189], ἀφοῦ ἀπεμακρύνθη ἀπὸ τὰ πατρῷα [ἤθη], εἶχε τὴν ἀξίωσιν νὰ τὸν προσκυνοῦν καὶ προσέλαβε γιὰ τὸν ἑαυτόν του τὸν μηδικὸ τρόπο ζωῆς καὶ ἐφόνευε στὰ συμπόσια τοὺς φίλους καὶ τοὺς συνελάμβανε γιὰ νὰ τοὺς θανατώσῃ. Ἐγὼ ὅμως

Γενόμενος περιβόητος γιὰ τὴν ἀνδρεία, αὐτοὺς οἱ ὁποῖοι εἶχον συνταχθῇ μαζί του τοὺς ὠνόμασε Γαλάτας καὶ ὅλη ἡ χώρα ὠνομάσθη Γαλατία».

[184] Περίφημος ποταμός, ἀναφερόμενος εἰς τοὺς ἀρχαίους μύθους. Ὁ Ἡσίοδος εἰς τὸ ἔργον του Θεογονία, τὸν ἀναφέρει ὡς υἱὸν τοῦ Ὠκεανοῦ καὶ τῆς Τηθύος. Ὅπως ἀναφέρει ὁ Ἡρόδοτος, ἐλέγετο ὅτι ἐξέβαλλε στὸν Ὠκεανό, στὰ δυτικότερα ἄκρα τῆς Εὐρώπης καὶ ὅτι ἐξ αὐτοῦ προήρχετο τὸ ἤλεκτρον. Θεωρεῖται ὅτι πρόκειται γιὰ τὸν ποταμὸ Ῥῆνο.

[185] Ἐννοεῖ τὴν Ῥώμην.

[186] Μέτρον σίτου, τὸ σημερινὸ κιλό. Ὅπως θὰ λέγαμε σήμερα: «Μὲ τὴν σέσουλα».

[187] Δαρεῖος ὁ Κοδομανός, τελευταῖος βασιλεὺς τοῦ καταλυθέντος ἀπὸ τὸν Ἀλέξανδρο περσικοῦ κράτους. Ἀνῆλθε εἰς τὸν θρόνον μετὰ ἀπὸ τὴν δολοφονία τῶν διαδόχων. Μετὰ τὴν μάχη τῶν Γαυγαμήλων ἐδραπεύτευσε στὴν Μηδία, συνελήφθη ὅμως κατὰ τὴν διάρκεια τῆς νυκτὸς ἀπὸ τοὺς ἀξιωματούχους του Βῆσσο, Ναβαρζάνο καὶ Βαρσαέντη, οἱ ὁποῖοι ἐσκόπευον νὰ τὸν παραδώσουν στὸν Ἀλέξανδρο ἔναντι ἀνταλλαγμάτων, ἀλλὰ ἐν τέλει τὸν ἐφόνευσαν ὥστε νὰ διευκολυνθῇ ἡ φυγή τους. Γι' αὐτὸν τὸν λόγο ὅταν συνελήφθησαν ὑπέστησαν αὐστηρὰ τιμωρία ἀπὸ τὸν Ἀλέξανδρο.

[188] Πόλις τῆς Κιλικίας (Νότιος Τουρκία) κοντὰ στὴν τοποθεσία ὅπου ἔλαβε χώρα ἡ μάχη μεταξὺ Δαρείου καὶ Ἀλεξάνδρου. Ὁ Δαρεῖος ἐτράπη εἰς φυγὴν ἐνῷ ἡ μητέρα του, ἡ σύζυγος, ἡ ἀδελφή, ὁ υἱὸς καὶ οἱ δύο κόρες του ἠχμαλωτίσθησαν.

[189] Πόλις τῆς Μεσοποταμίας, μεταξὺ τῶν ποταμῶν Λύκου καὶ Κάπρου, ἡ σημερινὴ Ἀρμπὴλ τοῦ Ἰράκ. Ὄχι μακριὰ ἀπὸ αὐτὴν τὴν πόλιν καὶ κοντὰ στὰ Γαυγάμηλα ἐδόθη τὸ 331π.Χ. ἡ τελευταία μεταξὺ Ἀλεξάνδρου καὶ Δαρείου μάχη, κατὰ τὴν ὁποίαν οἱ Πέρσες ἡττηθέντες οἰκτρῶς, κατεδιώχθησαν μέχρι τὰ Ἄρβηλα. Ὁ Ἀλέξανδρος ἔφθασε ἐκεῖ τὴν ἑπομένη τῆς νίκης καὶ βρῆκε τὰ χρήματα, τὰ σκεύη, τὴν ἀσπίδα καὶ τὰ τόξα τοῦ Δαρείου.

ἐκυβέρνησα μὲ δικαιοσύνη τὴν πατρίδα μου, καὶ ἀμέσως ὑπήκουσα ὅταν οἱ ἐχθροὶ ἔπλευσαν μὲ μεγάλο στόλο ἐναντίον τῆς Λιβύης, ὡς ἁπλὸς πολίτης. Καὶ ὅταν κατεδικάσθην ὑπέφερα τὴν καταδίκη χωρὶς νὰ δυσανασχετῶ. Καὶ αὐτὰ τὰ ἔπραξα ἐνῷ ἤμουν βάρβαρος καὶ ἀπαίδευτος ἀπὸ Ἑλληνικὴ παιδεία καὶ οὔτε, ὅπως ἀκριβῶς αὐτός, ἀπαγγέλλοντας Ὅμηρο[190], οὔτε ἐκπαιδευμένος ἀπὸ τὸν Ἀριστοτέλη τὸν σοφιστή, ἀλλὰ ἐχρησιμοποίησα μόνον τὴν ἀγαθὴ φύσιν. Αὐτὰ εἶναι ὅλα σὲ ὅσα ἐγὼ ἰσχυρίζομαι ὅτι εἶμαι καλλίτερος τοῦ Ἀλεξάνδρου. Ἐὰν δέ, αὐτὸς ἐδῶ, εἶναι καλλίτερος ἐπειδὴ φέρει στὴν κεφαλὴ βασιλικὸ διάδημα, αὐτὰ ἴσως νὰ φαίνωνται σεβαστά στοὺς Μακεδόνες, ὄχι ὅμως γι' αὐτὸν τὸν λόγο νὰ θεωρηθῇ καλλίτερος ἀπὸ ἄνδρα γενναῖο καὶ μὲ στρατηγικὴ ἱκανότητα, ὁ ὁποῖος ἔκανε χρῆσι τοῦ φρονήματός του καὶ ὄχι τῆς τύχης!

{ΜΙΝΩΣ} *Ὁ μὲν εἴρηκεν οὐκ ἀγεννῆ τὸν λόγον οὐδὲ ὡς Λίβυν εἰκὸς ἦν ὑπὲρ αὐτοῦ. σὺ δέ, ὦ Ἀλέξανδρε, τί πρὸς ταῦτα φῄς;*

Αὐτὸς ἔχει πεῖ ὑπέρ του μεγαλοπρεπῆ λόγο, οὔτε ὅπως ἦτο φυσικὸν γιὰ ἕναν Λίβυ. Ἐσύ, Ἀλέξανδρε, τί λὲς πρὸς αὐτά;

{ΑΛΕΞΑΝΔΡΟΣ} *Ἐχρῆν μέν, ὦ Μίνως, μηδὲν πρὸς ἄνδρα οὕτω θρασύν· ἱκανὴ γὰρ ἡ φήμη διδάξαι σε, οἷος μὲν ἐγὼ βασιλεύς, οἷος δὲ οὗτος λῃστὴς ἐγένετο. ὅμως δὲ ὅρα εἰ κατ' ὀλίγον αὐτοῦ διήνεγκα, ὃς νέος ὢν ἔτι παρελθὼν ἐπὶ τὰ πράγματα καὶ τὴν ἀρχὴν τεταραγμένην κατέσχον καὶ τοὺς φονέας τοῦ πατρὸς μετῆλθον, κᾆτα φοβήσας τὴν Ἑλλάδα τῇ Θηβαίων ἀπωλείᾳ στρατηγὸς ὑπ' αὐτῶν χειροτονηθεὶς οὐκ ἠξίωσα τὴν Μακεδόνων ἀρχὴν περιέπων ἀγαπᾶν ἄρχειν ὁπόσων ὁ πατὴρ κατέλιπεν, ἀλλὰ πᾶσαν ἐπινοήσας τὴν γῆν καὶ δεινὸν ἡγησάμενος, εἰ μὴ ἁπάντων κρατήσαιμι, ὀλίγους ἄγων εἰσέβαλον εἰς τὴν Ἀσίαν, καὶ ἐπί τε Γρανικῷ ἐκράτησα μεγάλῃ μάχῃ καὶ τὴν Λυδίαν λαβὼν καὶ Ἰωνίαν καὶ Φρυγίαν καὶ ὅλως τὰ ἐν ποσὶν ἀεὶ χειρούμενος ἦλθον ἐπὶ Ἰσσόν, ἔνθα Δαρεῖος ὑπέμεινεν μυριάδας πολλὰς στρατοῦ ἄγων. καὶ τὸ ἀπὸ τούτου, ὦ Μίνως, ὑμεῖς ἴστε ὅσους ὑμῖν νεκροὺς*

---

[190] Ἀπὸ τὰ πιὸ ἀγαπημένα ἀναγνώσματα τοῦ Ἀλεξάνδρου ἦτο ἡ Ἰλιὰς τοῦ Ὁμήρου. Εἶχε πάντοτε στὸ προσκεφάλι του ἕνα ἀντίγραφον μὲ ἰδιόχειρη ἀφιέρωσιν τοῦ Ἀριστοτέλους. Ἀγαποῦσε τὸ βιβλίον ὄχι μόνον ἐπειδὴ τὸ θεωροῦσε ἐγχειρίδιον πολεμικῆς ἀρετῆς, ἀλλὰ καὶ ἐπειδὴ εἶχε ταυτισθῇ μὲ τὸν Ἀχιλλέα, ὁ ὁποῖος ἦτο τὸ πρότυπόν του. Γι' αὐτὸν τὸν λόγο τὸν φίλο του Ἡφαιστίωνα τὸν ἀπεκαλοῦσε «Πάτροκλο».

ἐπὶ μιᾶς ἡμέρας κατέπεμψα· φησὶ γοῦν ὁ πορθμεὺς μὴ διαρκέσαι αὐτοῖς τότε τὸ σκάφος, ἀλλὰ σχεδίας διαπηξαμένους τοὺς πολλοὺς αὐτῶν διαπλεῦσαι. καὶ ταῦτα δὲ ἔπραττον αὐτὸς προκινδυνεύων καὶ τιτρώσκεσθαι ἀξιῶν. καὶ ἵνα σοὶ μὴ τὰ ἐν Τύρῳ μηδὲ τὰ ἐν Ἀρβήλοις διηγήσωμαι, ἀλλὰ καὶ μέχρι Ἰνδῶν ἦλθον καὶ τὸν Ὠκεανὸν ὅρον ἐποιησάμην τῆς ἀρχῆς καὶ τοὺς ἐλέφαντας αὐτῶν εἶχον καὶ Πῶρον ἐχειρωσάμην, καὶ Σκύθας δὲ οὐκ εὐκαταφρονήτους ἄνδρας ὑπερβὰς τὸν Τάναϊν ἐνίκησα μεγάλῃ ἱππομαχίᾳ, καὶ τοὺς φίλους εὖ ἐποίησα καὶ τοὺς ἐχθροὺς ἠμυνάμην. εἰ δὲ καὶ θεὸς ἐδόκουν τοῖς ἀνθρώποις, συγγνωστοὶ ἐκεῖνοι πρὸς τὸ μέγεθος τῶν πραγμάτων καὶ τοιοῦτόν τι πιστεύσαντες περὶ ἐμοῦ. τὸ δ᾽ οὖν τελευταῖον ἐγὼ μὲν βασιλεύων ἀπέθανον, οὗτος δὲ ἐν φυγῇ ὢν παρὰ Προυσίᾳ τῷ Βιθυνῷ, καθάπερ ἄξιον ἦν πανουργότατον καὶ ὠμότατον ὄντα· ὡς γὰρ δὴ ἐκράτησεν τῶν Ἰταλῶν, ἐῶ λέγειν ὅτι οὐκ ἰσχύι, ἀλλὰ πονηρίᾳ καὶ ἀπιστίᾳ καὶ δόλοις, νόμιμον δὲ ἢ προφανὲς οὐδέν. ἐπεὶ δέ μοι ὠνείδισεν τὴν τρυφήν, ἐκλελῆσθαί μοι δοκεῖ οἷα ἐποίει ἐν Καπύῃ, ἑταίραις συνὼν καὶ τοὺς τοῦ πολέμου καιροὺς ὁ θαυμάσιος καθηδυπαθῶν. ἐγὼ δὲ εἰ μὴ μικρὰ τὰ ἑσπέρια δόξας ἐπὶ τὴν ἕω μᾶλλον ὥρμησα, τί ἂν μέγα ἔπραξα Ἰταλίαν ἀναιμωτὶ λαβὼν καὶ Λιβύην καὶ τὰ μέχρι Γαδείρων ὑπαγόμενος; ἀλλ᾽ οὐκ ἀξιόμαχα ἔδοξέ μοι ἐκεῖνα ὑποπτήσσοντα ἤδη καὶ δεσπότην ὁμολογοῦντα. εἴρηκα· σὺ δέ, ὦ Μίνως, δίκαζε· ἱκανὰ γὰρ ἀπὸ πολλῶν καὶ ταῦτα.

Ἔπρεπε μέν, Μίνως, [νὰ μὴν ἀπαντήσω] τίποτε σὲ ἄνδρα τόσο θρασύ. Διότι ἡ φήμη εἶναι ἀρκετὴ γιὰ νὰ σοῦ φανερώση, τί βασιλεὺς [ἔγινα] ἐγώ, καὶ τί λῃστὴς ἔγινε αὐτός. Ὅμως, κύττα μήπως τὸν ξεπέρασα ὀλίγον, ἐγὼ ὁ ὁποῖος ὄντας νέος ἀκόμη ἦλθα στὰ πράγματα καὶ κατεῖχα τὴν ἐξουσία ἐνῷ εἶχε ταραχθῇ, καὶ τοὺς φονιάδες τοῦ πατρὸς ἐτακτοποίησα, καὶ ἔπειτα, ἀφοῦ ἐφόβισα τὴν Ἑλλάδα μὲ τὴν ἀπώλεια τῶν Θηβαίων, ἐχειροτονήθην ἀπὸ αὐτοὺς στρατηγός. Δὲν εἶχα τὴν ἀξίωσιν, ἐνῷ κατεῖχα τὴν μακεδονικὴ ἐξουσία, νὰ ἀρκεσθῶ νὰ ἐξουσιάζω ὅσων ἄφησε ὁ πατέρας, ἀλλὰ ἀπεφάσισα νὰ ὑποτάξω ὅλην τὴν γῆν, ἐπειδὴ θεωροῦσα φοβερό τὸ νὰ μὴν εἶμαι ἐξουσιαστὴς ὅλων. Ἀφοῦ ὡδήγησα ὀλίγους, εἰσέβαλα εἰς τὴν Ἀσίαν καὶ ἐπεκράτησα στὸν Γρανικὸ[191] σὲ μεγάλη μάχη, καὶ ἀφοῦ κατέλαβα τὴν Λυδία καὶ τὴν Ἰωνία καὶ τὴν

[191] Ποταμὸς τῆς Μικρᾶς Ἀσίας, ὁ ὁποῖος ὀνομάζεται σήμερα ἀπὸ τοὺς Τούρκους Κοτζὰ-Μπάς. Ἦτο ἡ πρώτη καὶ στρατηγικῆς σημασίας νίκη τοῦ Ἀλεξάνδρου ἡ ὁποία ἀπετέλεσε τὸν προπομπὸ γιὰ τὴν κατάκτησιν τῆς Μικρᾶς Ἀσίας καὶ τὴν προέλασίν του πρὸς Νότον.

Φρυγία καὶ γενικότερα ὅ,τι ἦτο πάντοτε πρὸ τῶν ποδῶν μου, ἦλθον ἐναντίον τῆς Ἰσσοῦ, ἐκεῖ ὅπου ὁ Δαρεῖος ἀνέμενε ὁδηγώντας πολλὲς χιλιάδες στρατοῦ. Καὶ ἐσεῖς, Μίνως, ξέρετε τὸ ἀποτέλεσμα, πόσους νεκροὺς σᾶς ἔστειλα κάτω σὲ μία ἡμέρα. Λέει λοιπὸν ὁ πορθμεὺς ὅτι δὲν τοὺς ἔφθανε τότε τὸ σκάφος, ἀλλὰ ἀφοῦ κατεσκεύασαν σχεδίες διέπλευσε τοὺς περισσοτέρους ἐξ αὐτῶν [τῶν νεκρῶν]. Καὶ αὐτὰ τὰ ἔκανα βάζοντας τὸν ἴδιο μου τὸν ἑαυτὸν εἰς κίνδυνον καὶ ἔχοντας τὴν ἀξίωσιν νὰ πληγωθῶ. Καὶ γιὰ νὰ μὴ σοῦ διηγηθῶ αὐτὰ [ποὺ ἔγιναν] στὴν Τύρο[192] καὶ στὰ Ἄρβηλα, μέχρι καὶ τοὺς Ἰνδοὺς ἔφθασα καὶ ἔθεσα ὅριον τῆς ἐξουσίας μου τὸν Ὠκεανόν, καὶ κατεῖχα τοὺς ἐλέφαντές τους καὶ τὸν Πῶρον[193] ἔβαλα στὸ χέρι καὶ τοὺς Σκύθας, ἄνδρας ὄχι εὐκαταφρονήτους, καὶ ἐνίκησα μὲ μεγάλη ἱππομαχία ἀφοῦ ὑπερέβην τὸν Τάναϊν[194], καὶ τοὺς φίλους εὐεργέτησα καὶ τοὺς ἐχθροὺς ἐτιμώρησα. Καὶ ἂν φαινόμουν θεὸς στοὺς ἀνθρώπους, ἐκεῖνοι εἶναι ἄξιοι συγχωρήσεως ποὺ ἐπίστευσαν κάτι τέτοιο γιὰ ἐμένα, λόγῳ τοῦ μεγέθους τῶν πραγμάτων. Τὸ τελευταῖο λοιπόν, ἐγὼ πέθανα ἐνῷ ἤμουν βασιλεύς, ἐνῷ αὐτὸς ὄντας εἰς φυγὴν κοντὰ στὸν Προυσία τὸν Βιθυνό[195], ὅπως ἀκριβῶς ἄξιζε [σὲ ἄνδρα] πανουργότατο καὶ σκληρότατο. Πῶς ἐπεκράτησε τῶν Ἰταλῶν, θὰ ἀφήσω ἀπὸ τὸ νὰ τὸ πῶ, ὅτι ὄχι μὲ ἰσχύ, ἀλλὰ μὲ πονηρία καὶ προδοσία καὶ δόλους, τίποτε νόμιμον ἢ προφανές. Ἐπειδὴ

---

[192] Ἀρχαία πόλις τῆς Συρίας, ἡ σημερινὴ Σοὺρ τοῦ Λιβάνου, ἡ ὁποία εὑρίσκεται ἐπὶ νησίδος τῆς Μεσογείου. Κατὰ τὴν ἐκστρατείαν τοῦ Ἀλεξάνδρου, ἡ Τύρος ἀρνηθεῖσα νὰ ὑποταχθῇ ἐπολιορκήθη καὶ ἡ πολιορκία διήρκησε ἑπτὰ μῆνες, λόγῳ τῆς ἰσχυροτάτης ὀχυρώσεώς της.

[193] Βασιλεὺς τῶν Ἰνδικῶν χωρῶν ἀνατολικὰ τοῦ ποταμοῦ Ὑδάσπου, διακριθεὶς γιὰ τὴν γενναιότητα καὶ τὸ ὑψηλὸ φρόνημά του. Ἡγούμενος πολυαρίθμου στρατοῦ συνεκρούσθη μὲ τὸν Ἀλέξανδρο καὶ ἡττήθη λόγῳ τραυματισμοῦ του. Ὅταν ὁ Ἰνδὸς ἡγεμὼν Μερόης τὸν ἔπεισε νὰ παρουσιασθῇ ἐνώπιον τοῦ νικητοῦ Ἀλεξάνδρου, ὁ Πῶρος, ἐρωτηθεὶς ἀπὸ τὸν Ἀλέξανδρο πῶς ἤθελε νὰ τὸν μεταχειρισθῇ, ἀπήντησε: «Βασιλικῶς». Ὁ Ἀλέξανδρος πράγματι τοῦ ἐφέρθη μεγαλοφρόνως καὶ τοῦ ἔδωσε τὸ βασίλειό του καθὼς καὶ ἄλλες περιοχές. Ὁ Πῶρος, ἀπὸ εὐγνωμοσύνη, συνώδευε τὸν Ἀλέξανδρο στὶς πολεμικὲς ἐπιχειρήσεις του. Μετὰ τὸν θάνατον τοῦ Ἀλεξάνδρου, ἐδολοφονήθη ἀπὸ τὸν Μακεδόνα στρατηγὸ Εὔδαμο.

[194] Ποταμὸς τῆς Σαρματίας εἰς τὰ βάθη τῆς Ἀσίας. Πρόκειται γιὰ τὸν ῥωσικὸ ποταμὸ Δόν. Ὁ Στράβων τὸν θεωροῦσε ὅριον μεταξὺ Εὐρώπης καὶ Ἀσίας.

[195] Ὁ Προυσίας δὲν εὑρίσκετο σὲ πόλεμο μὲ τὴν Ῥώμη, ἀλλὰ πολεμοῦσε τὸν βασιλέα τῆς Περγάμου Εὐμένη, ὁ ὁποῖος ἦτο σύμμαχος τῶν Ῥωμαίων. Ὁ Ἀννίβας, μεγάλος πλέον σὲ ἡλικία, κατέφυγε στὴν αὐλή του, ἀλλὰ ὅταν τὸ ἔμαθαν οἱ Ῥωμαῖοι ἐζήτησαν ἀπὸ τὸν Προυσία νὰ τοὺς τὸν παραδώσῃ. Ὁ Ἀννίβας δὲν προσεπάθησε νὰ δραπετεύσῃ. Ἐπῆρε δηλητήριον ἀφοῦ εἶπε: «Ἂς ἀπαλλάξουμε τοὺς Ῥωμαίους ἀπὸ τὴν ἀνησυχία, ἀφοῦ δὲν ἀντέχει ἡ ὑπομονή τους νὰ περιμένῃ ἕνα γέροντα νὰ πεθάνῃ».

μὲ ἐπέκρινε γιὰ τὴν τρυφή, ἔχει ξεχάσει μοῦ φαίνεται τί ἔκανε στὴν Καπύη[196] καθὼς συνευρίσκετο μὲ ἑταῖρες καὶ κατασπαταλοῦσε, ὁ «ἀξιοθαύμαστος», σὲ πολυτέλεια καὶ ἡδονὲς τοὺς κρισίμους χρόνους τοῦ πολέμου. Καὶ ἐὰν ἐγὼ δὲν θεωροῦσα ἀσήμαντα τὰ δυτικὰ καὶ δὲν ὁρμοῦσα κυρίως ἐναντίον τῆς Ἀνατολῆς, τί σπουδαῖο θὰ ἔπραττα ἐὰν κατελάμβανα ἀμαχητὶ τὴν Ἰταλία καὶ προσαρτοῦσα τὴν Λιβύη καὶ τὶς περιοχὲς μέχρι τὰ Γάδειρα[197]; Ἀλλὰ δὲν μοῦ ἐφάνη ὅτι ἐκεῖνα [τὰ μέρη] ἦσαν ἀξιόμαχα, τὰ ὁποῖα ἤδη μὲ ἔτρεμαν καὶ μὲ θεωροῦσαν κύριον. Ἐμίλησα. Ἐσύ, Μίνως, δίκαζε. Διότι ἀπὸ πολλὰ [εἶναι] ἀρκετὰ καὶ αὐτά.

{ΣΚΙΠΙΩΝ} *Μὴ πρότερον, ἢν μὴ καὶ ἐμοῦ ἀκούσῃς.*
Ὄχι, πρὶν ἀκούσῃς καὶ ἐμένα.

{ΜΙΝΩΣ} *Τίς γὰρ εἶ, ὦ βέλτιστε; ἢ πόθεν ὢν ἐρεῖς;*
Ποιός εἶσαι, φίλε μου; Ἢ ἀπὸ ποῦ λὲς ὅτι εἶσαι;

{ΣΚΙΠΙΩΝ} *Ἰταλιώτης Σκιπίων στρατηγὸς ὁ καθελὼν Καρχηδόνα καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις.*
[Εἶμαι] ὁ Ἰταλιώτης στρατηγός Σκιπίων[198], αὐτὸς ποὺ ἀφάνισα τὴν Καρχηδόνα καὶ ἐνίκησα τοὺς Λιβύους σὲ μεγάλες μάχες.

{ΜΙΝΩΣ} *Τί οὖν καὶ σὺ ἐρεῖς;*

---

[196] Ἰταλικὴ πόλις ὅπου ξεχειμώνιασαν οἱ στρατιῶται τοῦ Ἀννίβα μετὰ τὴν μάχη τῶν Καννῶν (216π.Χ.). Ἐφημίζετο ἰδιαιτέρως γιὰ τὸν οἶνο της, τὰ ὑφάσματα καὶ τὰ μῦρα της. Τόσο πλουσία καὶ θελκτικὴ ὑπῆρξε ἀνέκαθεν ἡ πόλις, ὥστε οἱ στρατιῶται τοῦ Ἀννίβα, ὅταν τὴν κατέλαβον, παρεδόθησαν εἰς τὴν τρυφηλότητα καὶ τὴν νωχέλειαν καὶ ἀπώλεσαν τοιοτοτρόπως πολύτιμον χρόνον. Ἀπὸ τότε ἡ φράσις «ἀπολαύσεις τῆς Καπύης» σημαίνει ἀπώλεια πολυτίμου χρόνου.

[197] Πρόκειται γιὰ τὴν ἀρχαία πόλιν Γάδειρα, κοντὰ στὸ Στενὸ τοῦ Γιβραλτὰρ (Ἡράκλειες Στῆλες), ἡ σημερινὴ Cádiz, πόλις τῆς Ἀνδαλουσίας τῆς Ἱσπανίας.

[198] Πρόκειται γιὰ ἕνα ἀπὸ τὰ πιὸ ὀνομαστὰ μέλη τῆς ῥωμαϊκῆς οἰκογενείας τῶν Σκιπίων, ὁ Πόπλιος Κορνήλιος, ὁ ἐπονομαζόμενος «Ἀφρικανός». Τὸ 205π.Χ. ἔγινε ὕπατος καὶ πρότεινε στὴν Σύγκλητο νὰ ἐλευθερώσῃ τὴν Ἰταλία ἀπὸ τὸν Ἀννίβα, μεταφέροντας τὸν πόλεμο στὴν Ἀφρικὴ καὶ ἀντεπιτιθέμενος κατὰ τῶν Καρχηδονίων στὴν ἴδια τους τὴν χώρα. Ἡ Σύγκλητος διστάζοντας, τοῦ ἔδωσε ὀλίγες δυνάμεις μὲ τὶς ὁποῖες ἐπέτυχε νὰ κυριεύσῃ καὶ νὰ πυρπολήσῃ τὰ δύο στρατόπεδα τῶν Καρχηδονίων, καθὼς καὶ τοῦ συμμάχου τους Σύφακου, καὶ νὰ συντρίψῃ ἐν συνεχείᾳ τοὺς ἡνωμένους στρατηγοὺς τῶν ἀντιπάλων του στὴν μάχη τῶν «Μεγάλων Πεδίων». Μετὰ τὴν νίκη του, ἡ Καρχηδὼν ἀνεκάλεσε τὸν Ἀννίβα ἀπὸ τὴν Ἰταλία. Οἱ δύο στρατηγοὶ ἀνεμετρήθησαν σὲ νέα μάχη κοντὰ στὴν Ζάμα, κατὰ τὴν ὁποίαν κατετροπώθησαν οἱ Καρχηδόνιοι καὶ ὑπεχρεώθησαν νὰ συνθηκολογήσουν.

Λοιπόν, τί θὰ πῇς καὶ ἐσύ;

{ΣΚΙΠΙΩΝ} *Ἀλεξάνδρου μὲν ἥττων εἶναι, τοῦ δὲ Ἀννίβα ἀμείνων, ὃς ἐδίωξα νικήσας αὐτὸν καὶ φυγεῖν καταναγκάσας ἀτίμως. πῶς οὖν οὐκ ἀναίσχυντος οὗτος, ὃς πρὸς Ἀλέξανδρον ἁμιλλᾶται, ᾧ οὐδὲ Σκιπίων ἐγὼ ὁ νενικηκὼς ἐμαυτὸν παραβάλλεσθαι ἀξιῶ;*

Εἶμαι μὲν ὑποδεέστερος τοῦ Ἀλεξάνδρου, ἀπὸ τὸν Ἀννίβα ὅμως καλλίτερος, ἐγὼ ὁ ὁποῖος τὸν κατεδίωξα ἀφοῦ τὸν ἐνίκησα καὶ τὸν ἠνάγκασα νὰ τραπῇ εἰς φυγὴν ἀτίμως. Πῶς λοιπὸν δὲν εἶναι ἀναίσχυντος αὐτός, ὁ ὁποῖος ἀνταγωνίζεται τὸν Ἀλέξανδρο, μὲ τὸν ὁποῖον οὔτε ἐγὼ ὁ Σκιπίων, ποὺ ἔχω νικήσει, δὲν ἔχω τὴν ἀξίωσιν νὰ παραβάλλω τὸν ἑαυτόν μου;

{ΜΙΝΩΣ} *Νὴ Δί᾽ εὐγνώμονα φῄς, ὦ Σκιπίων· ὥστε πρῶτος μὲν κεκρίσθω Ἀλέξανδρος, μετ᾽ αὐτὸν δὲ σύ, εἶτα, εἰ δοκεῖ, τρίτος Ἀννίβας οὐδὲ οὗτος εὐκαταφρόνητος ὤν.*

Μὰ τὸν Δία, συνετὰ [πράγματα] λές, Σκιπίων. Ὥστε πρῶτος νὰ κριθῇ ὁ Ἀλέξανδρος, μετὰ ἀπὸ αὐτὸν ἐσύ, ἔπειτα, ἐὰν σοῦ φαίνεται καλό, ὁ Ἀννίβας τρίτος, καθὼς οὔτε καὶ αὐτὸς εἶναι εὐκαταφρόνητος[199].



[199] Πολὺ πιθανὸν ὁ Λουκιανὸς νὰ ἔχῃ ἐμπνευσθῇ τὸν διάλογο αὐτὸν ἀπὸ τὸ ἑξῆς περιστατικόν: Ὀλίγα χρόνια μετὰ τὴν μάχη τῆς Ζάμα, ὁ Σκιπίων συνήντησε τὸν Ἀννίβα. Συζήτησαν σὰν δύο παλαιοὶ φίλοι, μὲ ἀμοιβαῖο σεβασμὸ ὁ ἕνας γιὰ τὸν ἄλλον. Ὁ Σκιπίων τὸν ἐρώτησε ποιόν θεωροῦσε κορυφαῖο στρατηλάτη. «Τὸν Ἀλέξανδρο τῆς Μακεδονίας», ἀπήντησε ὁ Ἀννίβας. «Καὶ γιατί;» «Διότι μὲ πολὺ μικρὸ στρατὸ ἐνίκησε πολὺ μεγάλη δύναμιν». «Δεύτερον ποιόν θεωρεῖς;» «Τὸν Πύρρο. Αὐτὸν δὲν τὸν ξεπέρασε κανεὶς στὴν τακτική», εἶπε ὁ Ἀννίβας. «Καὶ ποιόν θεωρεῖς τρίτον;», ἐρώτησε ὁ Σκιπίων. «Τὸν ἑαυτόν μου!», ἀπήντησε ὁ Ἀννίβας. «Φαντάζομαι τί θὰ ἔλεγες ἂν μὲ εἶχες νικήσει», εἶπε τότε γελώντας ὁ Σκιπίων. «Τότε θὰ θεωροῦσα τὸν ἑαυτόν μου ἀνώτερο τοῦ Ἀλεξάνδρου καὶ τοῦ Πύρρου», ἀπήντησε ὁ Ἀννίβας (Ἀπὸ τὸ βιβλίο τοῦ Εὐαγγέλου Μιλλεούνη «Ἱστορικὰ Ἀνέκδοτα», ἐκδ. Γρηγόρη, Ἀθῆναι 1969, σελ. 109-110).

ΑΧΙΛΛΕΩΣ ΚΑΙ ΑΝΤΙΛΟΧΟΥ

{ΑΝΤΙΛΟΧΟΣ} *Οἷα πρῴην, Ἀχιλλεῦ, πρὸς τὸν Ὀδυσσέα σοι εἴρηται περὶ τοῦ θανάτου, ὡς ἀγεννῆ καὶ ἀνάξια τοῖν διδασκάλοιν ἀμφοῖν, Χείρωνός τε καὶ Φοίνικος. ἠκροώμην γάρ, ὁπότε ἔφης βούλεσθαι ἐπάρουρος ὢν θητεύειν παρά τινι τῶν ἀκλήρων, "ᾧ μὴ βίοτος πολὺς εἴη," μᾶλλον ἢ πάντων ἀνάσσειν τῶν νεκρῶν. ταῦτα μὲν οὖν ἀγεννῆ τινα Φρύγα δειλὸν καὶ πέρα τοῦ καλῶς ἔχοντος φιλόζῳον ἴσως ἐχρῆν λέγειν, τὸν Πηλέως δὲ υἱόν, τὸν φιλοκινδυνότατον ἡρώων ἁπάντων, ταπεινὰ οὕτω περὶ αὑτοῦ διανοεῖσθαι πολλὴ αἰσχύνη καὶ ἐναντιότης πρὸς τὰ πεπραγμένα σοι ἐν τῷ βίῳ, ὃς ἐξὸν ἀκλεῶς ἐν τῇ Φθιώτιδι πολυχρόνιον βασιλεύειν, ἑκὼν προείλου τὸν μετὰ τῆς ἀγαθῆς δόξης θάνατον.*

